omnibus celebrandam apparitionem, Angelorum concurſum. quamuis tamen naturâ ille ſuâ, vt Eſaïas iam antè declarauit, ſub noſtrum adſpectum minimè cadat. Quod autem ait; Dum appropinquauerint anni, agnoſcêris: *omnino inclytam illam, vt iam dictum eſt, ſecundùm carnem, inuiſibilis alioqui Dei Seruatoris noſtri, agnitionem ſignificat. vt magnus ille ſacrorum myſtes Paulus ait:* Quando autem venit plenitudo temporis, emiſit Deus Filium ſuum, factum ex muliere, factum ſub Lege: vt eos qui ſub Lege erant, redimeret; vt adoptionem filiorum reciperemus. *Quod autem ſubiungitur;* Dum tempus aderit, oſtendêris: *nulla vtique expoſitione indiget, ſi quis ſollerter ad feſtũ, quod nunc celebramus,*

Agnitio.

Gal. 4. 4.

Oſtenſio.

τὸ ὄμμα. Ἀναδειχθήσῃ γάρ, φησιν ὡς ἐπὶ πίνακι βασιλικῷ ἀπὸ τῆς τεκούσης σε ἀχράντου μητρὸς ἐν τῷ ναῷ ἐν τῇ τῆς σαρκώσεώς σου εὐπρεπείᾳ. Ταῦτα δὲ ἀνακεφαλαιούμενος ὁ προφήτης πρὸς τὸ σαφέστερον, ἀνακέκραγε λέγων·
» Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ· εὐ-
» λαβείσθω ἀπὸ προσώπου αὐτοῦ
» πᾶσα ἡ γῆ. Φρικτὸν γὰρ ὄντως τὸ περὶ σὲ μυστήριον μῆτερ παρθένε, καὶ νοητὲ θρόνε δεδοξασμένε, καὶ θεοῦ ἐπάξιε. Προήγαγες γὰρ θαῦμα ἐπουρανίοις καὶ ἐπιγείοις ἐξαίσιον. καὶ παράδειγμα τούτων καὶ ἀρραγὴς ἔλεγχος τὸ κατὰ τὸ καινὸν τῆς ὑπερφυοῦς σου λοχείας ἀγ-
» γέλους ἐπὶ γῆς ᾄδειν· Δόξα ἐν

ὑψίστοις

oculos intenderit. Oſtendêris *enim, inquit, tamquam in diſco quopiam, ſeu ferculo regio, ab intemerata matre tua in templo, idque cum carnis abs te aſſumptæ ornamento. Quæ quidem Propheta manifeſtiùs ſummatim repetens, exclamauit in hæc verba:* Dominus in templo ſancto ſuo: reuereatur à facie eius omnis terra. *Tremendum enim reuera, ô mater virgo, intelligibilis, glorificate, Deoque digne throne: tremendũ inquam eſt, quod in te editum eſt ſacramentũ. Produxiſti enim cæleſtibus terreſtribusq; immenſum atque inuſitatum prorſus miraculum. Cuius rei indicium argumentumque firmiſsimũ eſt, quod ad nouum hoc genus ſupernaturalis tui puerperij Angeli in terra cecinerint;* Gloria in altiſſi-

Pſal. 10. 4. & 95. 9.

Luc. 2. 14.

» ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν
» ἀνθρώποις εὐδοκία, τῷ τριπλασι-
ασμῷ τῆς ᾠδῆς τὸν τριπλασιασμὸν
τῆς ἁγιότητος εἰσάγοντας. Μακα-
ρία σὺ ἐν γενεαῖς γυναικῶν θεο-
μακάριστε, ὅτι διὰ σοῦ ἐπληρώθη
ἡ γῆ τῆς θείας δόξης τοῦ θεοῦ, ὡς
» καὶ ἐν ψαλμοῖς ᾄδεται· Εὐλογητὸς
» κύριος ὁ θεὸς Ἰσραὴλ, καὶ πληρω-
» θήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ
» γῆ· γένοιτο, γένοιτο. Καὶ ἐπήρθη
» φησὶ τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς
» ἧς ἐκέκραγον. ὃ σημαίνει τοῦ ναοῦ
τὸ καταπέτασμα, τὸ συσκιάζον
κατὰ πρόσωπον τῆς προτυπωσάσης
σε κιβωτοῦ διαθήκης, ἵνα μοι φα-
νερωθῇ τἀληθὲς, καὶ διὰ τῶν προη-
γησαμένων τύπων τε καὶ ὑποδειγ-
μάτων

altiſſimis Deo, & in terra pax; in hominibus bona voluntas: *tri-plici nimirum Cantici varietate tri-plicem ſanctitatis rationem inducentes. Beata tu in generationibus, inter mu-lieres omnes Deo maximè felix: quia per te impleta eſt terra diuinâ ipſius gloriâ. Ut & in Pſalmis canitur:* Be-nedictus Dominus Deus Iſraël, & replebitur maieſtate eius om-nis terra: fiat, fiat. Et eleuatum eſt, *inquit Propheta*, ſuperliminare à voce, qua clamabant. *quo ſigni-ficatur, templi velum coram arca te-ſtamenti, quæ tui figuram gerebat, in-umbrans, dimotum fuiſſe: quo mihi ipſa rei veritas apertè manifeſtetur; perque typos & ſigna, quæ præceſſe-rant,*

Pſal. 71. 18.
Luc. 1. 68.
Pſal. 71. 19

μάτων παιδαγωγηθῶ αἰδοῖ. καὶ τρόμῳ τιμᾶν καὶ προσκυνεῖν τὸ περὶ σὲ μυστήριον, χαλιναγωγηθῶ τε αὖ διὰ τῆς νομικῆς σκιογραφίας τὸ τολμηρὸν καὶ ἀναιδὲς ἀσκαρδαμύκτως* ἀντοφθαλμῆσαι ἀντωπίας τὸν τὰ πάντα ἐν ἀκαταληψίᾳ ὑπερεσφραγισμένον. Εἰ γὰρ τῇ εἰκόνι τῆς ἁγιότητος τοσαύτη παρὰ τοῦ θεοῦ ἀπενεμήθη τιμή, ὡς μηδενὶ βεβήλοις ἢ περιέργῳ εἰς κατανόησιν εἶναι ἐφετὴν τὴν ταύτης εἴσοδον ἢ μόνῃ τῇ ἱερατικῇ εὐκοσμίᾳ, τοῦ καταπετάσματος διορίζοντος καὶ πυλωροῦντος ὡς βασιλίδι τὰ προπύλαια· τί ἄρα καὶ ποταπὸν τὸ παρ' ἡμῶν τῶν ἐλαχίστων ἐποφειλόμενόν σοι σέβας, τῇ ὄντως

*Forte τῶς.

βασι-

rant, ego cùm reuerentia atque tremore ad ſacramentum, quod in te editur, honorandum venerandumque erudiar; ac per Legis hanc velut delineationem, ab eo, qui vniuerſa incomprehenſibili quadam ratione conſtituit, audaciùs impudentiusque fixo oculorum intuitu contemplando refrener. Si enim arcæ, quæ ſanctitatis tuæ imaginem tantùm in ſe gerebat, tantus à Deo honos habitus fuit, vt nemini, niſi ſoli ſacerdotali dignitati ad illa, quæ in ipſa recondita erant, cognoſcenda ingreſſus concederetur; velo, quod eidem obtendebatur, tamquam reginæ cuiuſpiam veſtibulum diſtinguente, cuſtodienteque: quis tandem, & qualis venerationis cultus à nobis, qui minimi ſumus, tibi debetur? tibi inquam, quæ verè

βασιλίδι, τῇ ὄντως ἐμψύχῳ κιβωτῷ τοῦ νομοδότου θεοῦ, τῇ ὄντως χωρητῷ οὐρανῷ τοῦ ἀχωρήτου θεοῦ γενομένῃ; Σοῦ γὰρ τῆς παναγίας ὡς φωταυγοῦς ἡμέρας ἐπιφανείσης τῷ κόσμῳ, καὶ τὸν τῆς δικαιοσύνης ἥλιον προαγαγούσης, ἐκποδὼν μὲν γέγονε τὰ τοῦ σκότους στυγνερὰ, φροῦδος δὲ καὶ ὁ τύραννος κατέστη, καὶ διόλωλε μὲν θάνατος, κατεπόθη δὲ καὶ ὁ ᾅδης, καὶ πᾶσα ἡ ἔχθρα κατελύθη πρὸ προσώπου τῆς εἰρήνης, νόσοι δὲ φθοροποιοὶ ἄπωθεν ἔστησαν τῆς σωτηρίας προκυψάσης, καὶ φωτὸς ἀνάπλεως γέγονεν ἡ ὑπ' οὐρανὸν τῆς ἀκραιφνοῦς ἀληθείας. Ἅτινα προοιμιάζων ἐν τοῖς ᾄσμασιν ἔλεγεν ὁ Σολομών· Ἀδελ-

verè regina es; quæ verè Dei Legiſlatoris animata arca; quæ verè capax cælum, ad Deum, qui nuſquàm alioqui capi poteſt, recipiendum facta? Te enim ſanctiſsima virgo, tamquam die clariſsima mundo affulgente, iuſtitiæq; ſolem illum producente, odioſus tenebrarum horror depulſus eſt; tyranni potentia irrita effecta; mors destructa, infernus abſorptus; omnis inimicitia ante pacis conſpectum diſſoluta; morbi noxij, ſanitatis beneficio iam imminente, procul omnes faceſſere iuſsi; vniuerſusque terrarum orbis veritatis puriſsimæ eſt luce perfuſus. Ad quæ haud dubiè alludens Salomon in Canticis ſuis ita exorditur: Patruelis *Cant. 2. 16*

E meus

„ Ἀδελφιδός μου ἐμοὶ, κἀγὼ αὐτῷ,
„ ὁ ποιμαίνων ἐν τοῖς κρίνοις ἕως οὗ
„ ἡ ἡμέρα διαπνεύσῃ, καὶ κινηθῶσιν
„ αἱ σκιαί. Ἐπεὶ οὖν ὤφθη ὁ θεὸς
„ τῶν θεῶν ἐν Σιὼν, καὶ ἡ εὐπρέπεια
„ τῆς ὡραιότητος αὐτοῦ ἐν Ἱερουσαλὴμ
„ ἐξεφάνθη, καὶ φῶς ἀνέτειλε τῷ
„ δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐ-
„ φροσύνη, κατὰ τὸν μακάριον Δαβίδ·
ὁ τῶν τελουμένων τελειωτὴς καὶ δε-
σπότης, τὸν τοῦ νόμου διδακτικὸν καὶ
λειτουργικὸν συνεκάλεσεν εἰς λει-
τουργίαν καὶ μαρτυρίαν διὰ τοῦ πνεύ-
ματος τοῦ ἁγίου τῶν πραττομένων.
Ὅθεν ἀπεκδυσάμενος τὸ ἄτονον
τῆς ἡλικίας ὁ πρεσβύτης Συμεὼν,
καὶ τὸ εὔτονον τῆς ἐλπίδος ἐπενδυ-
σάμενος, ἀπολαβεῖν ἔσπευδεν εἰς

προσω-

meus mihi, & ego illi: qui paſcit in liliis, donec adſpiret dies, & dimoueantur vmbræ. *Quoniam igitur* Viſus eſt Deus Deorum in Sion, & magnificentia decôris eius in Ieruſalem apparuit: *&*, Lux orta eſt iuſto, & rectis corde lætitia, *iuxta beatum Dauidem: ille eorum omnium perficiendorũ perfectus auctor ac Dominus, Legis doctorem atque miniſtrum in partem muneris, ac teſtimonium illorum quæ per Spiritum ſanctum agebantur, conuocauit. Quo factum, vt ſenex ille Symeon imbecillitatem ætatis exutus, fideïque robur indutus, ante faciem Legis, datorem*

Pſal. 83. 8.

Pſal. 96. 11

πρόσωπον τοῦ νόμου τὸν τοῦ νόμου πάρεχον, τὸν αὐθέντην διδάσκαλον, τὸν θεὸν τοῦ Ἀβραὰμ, τὸν σκεπαστὴν τοῦ Ἰσαὰκ, τὸν ἅγιον τοῦ Ἰσραὴλ, τὸν μυσταγωγὸν τοῦ Μωϋσῆ, τὸν τὴν θείαν ἐνανθρώπησιν ὡς ὀπίσθια γνωρίσαι αὐτῷ ὑποσχόμενον, τὸν ἐν πτωχείᾳ πλούσιον, τὸν ἐν νηπιότητι προαιώνιον, τὸν ἐν ὁράσει ἀόρατον, τὸν ἐν περιλήψει ἀπερίληπτον, τὸν ἐν σμικρότητι ὑπερμεγέθη, τὸν ἐν ναῷ καὶ ἐν ὑψίστοις, τὸν ἐπὶ θρόνου βασιλικοῦ καὶ ἐπ' ὀχήματος Χερουβικοῦ, τὸν κάτω καὶ ἄνω ἀδιαστάτως, τὸν ἐν μορφῇ δούλου καὶ ἐν μορφῇ θεοῦ πατρὸς, τὸν ὑπήκοον καὶ βασιλέα τῶν ἁπάντων. Ὅλος γέγονε τῆς ἐφέσεως, ὅλος γέγονε τῆς ἐλπί-

*Legis excipere feſtinauerit; auctorem, inquam, ipſum & præceptorem Legis, Deum Abraham, protectorem Iſaac, Sanctum Iſraël, Moyſæ myſtagogum, quique diuinam ſuam incarnationem tamquam poſteriora eidem ſe patefa-*ecturum promiſerat: illum, qui in mendicitate diues eſt; in infantia ſæculis omnibus prior; in viſione inuiſibilis; in apprehenſione incomprehenſibilis; in paruitate ſupra omnem magnitudinem; in templo ſimul, & in altiſsimis; in throno regio, & in vehiculo Cherubico; qui in ſupernis pariter, & in inferioribus continenter; in forma ſerui, & in forma Dei Patris; obediens, & idem Rex vniuerſorum. Atque hinc bonus ille ſenex, totus in deſiderio, totus in*

*Exod. 33. 23.

ἐλπίδος, ὅλος γέγονε τῆς χαρᾶς· οὐκέτι ἦν ἑαυτοῦ, ἀλλὰ τοῦ ἐλπισθέντος. Τὸ πνεῦμα τὸ ἅγιον εὐηγγελίσατο, καὶ ἡ φύσις ἀνεζωπύρησε, καὶ πρὶν ἢ κατειληφέναι τὸν ναὸν τοῖς τῆς διανοίας ὀφθαλμοῖς ἀναπτερούμενος ὡς ἔχων ἤδη τὸν πεποθημένον ἐγεγήθει. Ἀγόμενος δ' οὕτω, καὶ μετεωροπορῶν τοῖς διαβήμασιν ὠκυτάτως, τὸν πάλαι ἱερὸν καταλαμβάνει σηκὸν, καὶ οὐ προσσχὼν τῷ ἱερῷ τῷ τοῦ ἱεροῦ πρυτάνει τὰς ἱερὰς ὠλένας ἐφήπλωσε, τοιάδε λέγων ἅμα καὶ ᾄδων ἃ καὶ τῇ ἀπάσῃ τελετῇ προσῆκε.

Σὲ ἐπιποθῶ δέσποτα θεὲ πατέρων, καὶ κύριε τοῦ ἐλέους, τὸν καταξιώσαντα τῇ ἰδίᾳ δόξῃ καὶ ἀρετῇ,

ὡς παύ-

ſpe, totus in lætitia fuit: non iam amplìus ſuus, ſed totus eius, qui ab ipſo ſperabatur. Spiritus ſanctus ipſi feliciter annunciauerat; natura iam velut extinctum excitauerat: & priuſquam templum ipſum attigiſſet, intelligentiæ oculis velut extra ſe ſubuolans; vt ſi iam haberet quem diu deſideraſſet; præ ingenti voluptate geſtiit. Sicq; ductus, ac per gradus celerrimè conſcendens, ſacrum hactenus penetrale occupat: temploq; omiſſo, templi ipſius præſidi ſacras vlnas expandit; quæ talis feſti congratulationi conueniebant, feſtiuo ſermone decantans. Te, inquit, deſidero, Domine Deus patrum, Domine miſericordiæ: qui ſponte tua ac virtute,

ὡς πάντων προνοητῇ, αἰδοῖ τῆς
πρὸς ἡμᾶς συγκαταβάσεως κα-
θάπερ σπονδηφόρῳ μεσιτείᾳ εἰς
φιλικὴν ὁμηρεῦσαι συμφωνίαν
τοὺς ἐπουρανίους πρὸς τοὺς γηγενεῖς.
Σὲ ἐπιζητῶ, τὸν αὐτουργὸν τῶν
ἁπάντων· σὲ καραδοκῶ, τὸν περιέ-
ποντα λόγῳ τὰ πάντα· σὲ ἀπεκ-
δέχομαι, τὸν ζωῆς καὶ θανάτου
δεσπόζοντα· σὲ ἀναμένω, τὸν νο-
μοδότην, καὶ τοῦ νόμου διάδοχον·
σὲ πεινῶ, τὸν ζωοποιὸν τῶν νενε-
κρωμένων· σὲ διψῶ, τὴν ἀνάψυ-
ξιν τῶν κεκμηκότων· σὲ ἐπιθυμῶ
τὸν κτίστην καὶ λυτρωτὴν τοῦ κόσμου.
Σὺ ἡμῶν θεὸς, καὶ σὲ προσκυνοῦ-
μεν. σὺ ἡμῶν ναὸς ἅγιος, ᾧ ἐν
σοὶ προσευχόμεθα· σὺ θεσμῶν.

θεσμο-

rerumque vniuerſarum prouidentiâ ad nos vſque te deijcere; & humilitate illâ tantâ, tamquam certo fœderis pacto interueniente, inter cæleſtes atque terrigenas concordem amicitiam conciliare non dedignatus fuiſti. Te quæro rerum omnium Conditorem: te ſummâ cupiditate exſpecto ſolo verbo vniuerſa fouentem ac protegentem: te præſtolor vitæ mortiſque dominatorem: te maneo Legis datorem, eiuſdemque ſucceſſorem: tui fame teneor mortuorum viuificatoris: te ſitio defatigatorum refrigerationem: te auidiſſimè concupiſco mundi fabricatorem & liberatorem. Tu noſter Deus; te adoramus: tu templum noſtrum ſanctum; in te vota faciemus: tu ſanctorum rituum

θεσμοθέτης, καὶ σοὶ πειθαρχοῦμεν· σὺ θεὸς πρῶτος, ἔμπροσθέν σου οὐκ ἐγεννήθη θεὸς ἄλλος ἐκ θεοῦ καὶ πατρὸς, καὶ μετὰ σὲ οὐκ ἔσαι ἄλλος υἱὸς τῷ πατρὶ ὁμοούσιος καὶ ὁμότιμος, καὶ τὸ ἐπίςασθαί σε ὁλόκληρος δικαιοσύνη, καὶ εἰδέναι σου τὸ κράτος ῥίζα ἀθανασίας. Σὺ εἶ ὁ διὰ τὴν ἡμετέραν σωτηρίαν λίθος ἀκρογωνιαῖος πολυτελής τε καὶ ἔντιμος τῇ Σιὼν προαναγορευθείς. ὑποβέβληνται γάρ σοι τὰ πάντα ὡς αἰτίῳ, ὡς παραγαγόντι τὰ ὅλα ἐκ μὴ ὄντων εἰς τὸ εἶναι, καὶ σύστασιν εὐπαγῆ τοῖς ἀστάτοις παρεχόντι, ὡς συνοχῇ καὶ φρουρᾷ τῶν παρεννενεγμένων, ὡς φύσεων διαφόρων δημιουργῷ, ὡς οἰακίζοντι

παλά-

cerimoniarumque auctor; tibi paremus: tu Deus primus; ante te non eſt factus alius Deus ex Deo Patre; neque poſt te alius Filius futurus eſt Patri conſubſtantialis, eiuſdemque cum ipſo gloriæ. Te cognoſcere, ſolida iuſtitia eſt; tuam potentiam intelligere, radix immortalitatis. Tu ſalutis noſtræ cauſa, lapis ille angularis, exquiſitus ac pretioſus, Sioni iam antea prædictus. Subiecta enim tibi ſunt omnia, tamquam omnium auctori; tamquam omnia, quum non eſſent, in rerum naturam producenti, conſtitutionemque firmiſſimam inſtabilibus per ſe, tribuenti; tamquam compactori atque cuſtodi omnium conditorum; tamquam naturarum diuerſarum architecto; tamquam manu tua fortiſ-

ſima

παλάμη παναλκεστάτη καὶ παν σοφωτάτη τὰ σύμπαντα, ὡς εὐταξίας ἁπάσης ῥυθμῷ, ὡς συμφωνίας καὶ εἰρήνης ἀῤῥαγεῖ συνδέσμῳ.
„ Ἐν σοὶ γὰρ ζῶμεν, καὶ κινούμεθα,
„ καὶ ἐσμέν. διὰ τοῦτο κύριε ὁ θεός
„ μου δοξάσω σὲ, ὑμνήσω τὸ ὄνομά
„ σου, ὅτι ἐποίησας θαυμαστὰ πράγ-
„ ματα, βουλὴν ἀρχαίαν ἀληθινὴν,
„ ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν
„ ἐνδυσάμενος. Τί γὰρ περιφανέστερον βασιλεῖ περιανθούσης πορφυρίδος, καὶ ἐπιλάμποντος διαδήματος; Ἢ τί μεγαλοπρεπέστερον θεῷ φιλανθρώπῳ φιλανθρώπου ἐνανθρωπήσεως, ταῖς παμφανωτάταις ἐξαυγίαις τοὺς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένους καταλαμπούσης; Καὶ

μὴν

ſima ac ſapientiſſima vniuerſa moderanti; tãquam omnis recti ordinis conſeruatori; denique tamquam vniuerſæ concordiæ ac pacis indiſſolubili connexioni. In te enim viuimus, & mo- *Act.17.28*
uemur, & ſumus. *Propterea Domine Deus meus, glorificabo te:* Laudabo *Exod.15.2*
nomẽ tuum, quoniam feciſti res *Eſai.25.1.*
admirandas, cõſilium antiquum, verum; confeſſionem & decorem *Pſal.103.2.*
indutus. *Quid enim Regi ſplendidius purpureâ veſte, circumornatâ coloribus, & diadẽmate circumfulgente? Quid porrò Deo, in homines propenſiſſimo, amicâ hâc hominis aſſumtiòne, quæ clariſſimis ſuis radiis* ſedentes in tene- *Eſai.42.7.*
bris & vmbra mortis illuminat *illuſtratque, magnificentius? Appoſitè*

ſanè

μὴν εἰκότως καὶ προανευφήμησέ σε τὸν βασιλέα τῶν αἰώνων ὁ πρόσκαιρος βασιλεὺς καὶ οἰκέτης φάσκων,
„ Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν
„ ἀνθρώπων, ὁ ἐν ἀνθρώποις θεὸς
καὶ ἄνθρωπος. Περιεζώσω γὰρ διὰ τῆς
„ θείας σου σαρκώσεως δικαιοσύνῃ
„ μὲν τὴν ὀσφὺν, ἐνηλείψω δὲ καὶ ἀλη-
„ θείᾳ τὰς πλευρὰς, αὐτόχρημα δι-
καιοσύνη καὶ ἀλήθεια ὑπάρχων, καὶ
ἀγαλλίαμα τῶν ἁπάντων. Τοιγαροῦν εὐφρανθήτω ὁ οὐρανὸς σήμε-
„ ρον ἅμα ἐμοὶ, ὅτι ἠλέησεν ὁ θεὸς
„ τὸν λαὸν αὐτοῦ. Ῥανάτωσαν δὴ καὶ
„ αἱ νεφέλαι δικαιοσύνην τῷ κόσμῳ,
„ σαλπισάτω καὶ τὰ θεμέλια τῆς
„ γῆς εἰρήνην τοῖς ἐν ᾅδου. πάρεστι
γὰρ ἡ ἀνάστασις τῶν κεκοιμημένων.

Ἀνατεί-

ſanè te Regem ſæculorum temporarius ille Rex ac famulus tuus fauſtis iam antea congratulationibus ominibusq́ue proſequutus eſt dicens: Specioſus for- *Pſal. 44. 3.*
mâ præ filiis hominum, *in hominibus Deus, & ipſe homo. Circumcinxiſti enim, per diuinam tuam incarnatio-*
nem, iuſtitiâ *quidem* lumbos tuos, *Eſai. 11. 5.*
inunxiſti autem & veritate latera tua: *cùm reuera ipſe nihil ſis niſi veritas atque iuſtitia, omniumq́ue exſultatio. Lætetur igitur mecum hodie cælum: quoniam miſertus eſt Dominus populum ſuum. Rorent & nubes iuſti-* *Eſai. 45. 8.*
tiam mundo, annuncientq́ue tubâ fundamenta terræ pacē in inferno conſtitutis: adeſt enim dormientium reſurrectio.

Produ-

ἀνατειλάτω καὶ ἡ γῆ ἔλεος τοῖς
κατοικοῦσιν αὐτήν. Πεπλήρωμαι
γὰρ τῇ παρακλήσει, καὶ ὑπερπερισ-
σεύομαι τῇ χαρᾷ, ὅτι εἶδόν σε
τὸν σωτῆρα τῶν ἀνθρώπων. χορεύ-
οντος δὲ οὕτω τοῦ πρεσβύτου, καὶ
γανυμένου τῇ θείᾳ εὐφρασίᾳ, τὰ
κεχρηματισμένα τυπικῶς τῷ προ-
φήτῃ Ἡσαΐᾳ, περιφανῶς ἡ ἱερὰ
θεομήτωρ ἐξετέλει καὶ δὴ λαβομένη
τὸν ἐκ τοῦ ἀχράντου καὶ παναμώ-
μου αὐτῆς θυσιαστηρίου σαρκωθέντα
ζωοποιὸν καὶ ἀνέκφραστον ἄνθρακα
ὡς λαβίδι τῇ συζεύξει τῶν ἁγίων
αὐτῆς χειρῶν, τῷ δικαίῳ προέτεινε,
τοιαῦτα (ἐμοὶ δοκεῖ) λέγουσά τε
ἅμα καὶ παρακελεύουσα. Ἀπό-
λαβε πρεσβύτα τίμιε, καὶ ἱερέων
ἄριστε

Producat & terra miſericordiam inhabitantibus eam. Impletus *enim* ſum conſolatione, ſuperabundo gaudio: *quòd te videam Seruatorem hominum. Geſtiente autem ſic ſene noſtro, diuinaque lætitia exſultante, quæ antea per figuram Eſaias vaticinatus fuerat, palàm ſancta* Dei *genitrix re ipsâ compleuit. Accipiens enim ex puro immaculatoque illo altari ſuo carbunculum illum viuificum atque ineffabilem, carne indutum, ſanctarum manuum ſuarum complexu, tamquam forcipe, iuſto illi porrexit; huiuſmodi, vt mihi quidem videtur, verbis vtens, ipſumque exhortans: Sume ſenex honorate, & Sacerdotum* 2. Corinth. 7. 4.

 optime;

ἄειστε ἀπόλαβε τὸν κύριον, καὶ *ἀπόλαβε τ̃ ἐ χηρευσάσης σου ἐλπίδος. Ὑπόδεξαι θησαυρὸν ἀνέκλειπτον, καὶ πλοῦτον ἀναφαίρετον μεγαλοφυέστατε. Ἐναγκάλισε κράτος ἀνεκδιήγητον, καὶ δύναμιν ἀνεξερεύνητον ἐρείδουσαν σε σοφώτατε. περίλαβε μέγεθος ἀπειρόριστον, καὶ ἰσχὺν ἀνείκαστον ἱερουκόρε. περιπλάκηθι τῇ αὐτῇ αὐτοζωῇ, καὶ ζῆθι αἰδεσιμώτατε. περίπτυξαι τὴν ἀφθαρσίαν, καὶ ἀνακαινοποιήθητι δικαιότατε. Οὐ τολμηρὸν τὸ ἐγχείρημα· μὴ ὄκλαζε ὁσιώτατε. ἐμφορήθητι τοῦ ποθουμένου, καὶ κατατρύφησον τοῦ ἐπιδιδομένου, μᾶλλον δὲ ἑαυτὸν ἐπιδιδόντος ἱεροπρεπέστατε. Ἐναγλαΐσθητι τῷ διὰ τοῦ ἀκηλι-

Fortè ἀπόλαυε.

optime; ſume Dominum; & ſpe tuâ, nequaquam viduâ deſtitutâ, fruere. Suſcipe theſaurũ nunquam deficientem, diuitiasq́; certiſsimas, vir generoſiſſime. Amplexare potentiam inenarrabilem, vimq́ue incomprehenſibilem, quæ te confirmet, vir ſapientiſſime. Circumplectere magnitudinem infinitam, fortitudinemq́ue inuictam, ſacrorum præfecte præſtantiſſime. Circumplicare illi, qui vera eſt vita, à ſe ipſo viuendi originem habens, & viue, ſenex venerabiliſſime. Arcto complexu tibi adiunge incorruptionem, & renouare, virorum iuſtiſsime. Non audax hoc facinus; ne quid trepides, Sacerdotum piiſſime. Satiare illo, quem diu exoptaueras; & delectare tibi dato, ſeu veriùs ſeipſum dante, Sacrificorum auguſtiſſime. Illuſtrare

ἀκηλιδώτου ἐσόπτρου τῆς σαρκὸς περιστίλβοντι ἡλίῳ τῆς δικαιοσύνης εὐλαβέσατε. Μὴ δειλίᾳ τὴν γαληνότητα, μηδὲ καταπλαγῆς τὴν ἡμερότητα μακαριωτάτη. Μὴ πλήξῃς τὸ εὐμενές, μηδὲ πτοηθῆς τὸ προσηνὲς ἐπιεικέστατε. Εὐθύμως προσκολλήθητι, καὶ μὴ διάβαλλε

εὔεικτον. πρὸς τὸ *εὐήκοον. Οὐ θρασύτητος τὸ λαλούμενον, οὐδὲ τὸ προτεινόμενον· μὴ ἀφηνίαζε ἀσικώτατε. Οὐ καταφλέγει τὸ πῦρ τοῦ τοῦ κυρίου μου χάριτος, ἀλλὰ φωτίζει δικαιώτατε. Βάτος σε πεισάτω ἡ τὸν τύπον μου περιστησαμένη πρὸς ὑπόστασιν τοῦ ἀνυποστάτου πυρὸς νομομαθέστατε. Δροσοσυρίζουσα κάμινος πειθέτω σε παιδοτρίβε τῶν

μυστη-

*iuſtitiæ ſole, per puriſſimum carnis aſ-ſumtæ ſpeculum coruſcante, mortalium religioſiſſime. Ne tibi hæc tranquillitas timorem incutiat, neu manſuetudo perterreat, vir beatiſſime. Ne obſtupeſcas ad lenitatem; neu clementiam exhorreſcas, vir modeſtiſſime. Magno animo eidem adglutinare: nec obedientiam differ. Non temeritatis eſt, quod tibi dicitur porrigiturque; ne igitur reſpuas, vir vrbaniſſime. Non comburit ignis gratiæ Domini mei; ſed illuminat, vir omnium æquiſſime. *Rubus mei figuram in ſe repræſentans, te ſubſiſtentiam ignis illius non ſubſiſtentis doceat, vir Legis peritiſſime. Caminus ille velut ventus roris ſuſurrans, tibi œconomiæ*

*Gregorius Nyſſ. λόγῳ εἰς τὴν γέννησιν τοῦ κυρίου. Chryſoſtom. εἰς εὐαγγελισμόν. Theodoret. q. 6. in Exod.

Exod. 3. 2.

Daniel. 3. 21.

 huius

μυςηρίε τὴν οἰκονομίαν. Πρὸς ἐπὶ τέτοις ἡ ἐμὴ γαςήρ σε διδαξάτω, ἐν ᾗ ἐχωρήθη ὁ ἀχώρητος, ἐξ ἧς καὶ ἐσαρκώθη ὁ ἄσαρκος λόγος. Οὐ πάλιν σάλπιγγες ἐκδειματῶσι τοὺς προσιόντας, ἐδ᾽ αὖ ὄρος καπνιζόμενον δέος ἐμποιεῖ τοῖς προσπελάζεσιν, ἔτε μὴν νόμος κολάζει ἀφειδῶς τὸν θίγοντα τολμηρῶς. φιλανθρωπίας γὰρ τὰ παρόντα, συγκαταβάσεως τὰ τελέμενα, ἀγαθότητος τὰ φαινόμενα. Εὐχαρίςως ἀπόλαβε τὸν πρὸς σὲ ἐλθόντα θεόν: αὐτὸς γὰρ ἀφελεῖ τὰς ἀνομίας σε, καὶ τὰς ἁμαρτίας σε περικαθαριεῖ. Ἐν σοὶ προτυπωθήτω ἡ τοῦ κόσμε κάθαρσις, ἐν σοὶ καὶ διὰ σοῦ προμηνυθήτω τοῖς

ἔθνεσιν

huius ſacramentum perſuadeat, magiſter optime. Uterus denique meus tibi documento ſit: in quo contentus fuit is, qui nuſquam alioqui contineri poteſt: ex quo & carnem aſſumſit Uerbum illud, carnis expers. Non rurſum tubæ accedentes arcent; non iterum mons fumans appropinquantes terret; non amplius Lex audaciùs attingentem crudeliter punit. præſentia enim, plena inſignis cuiuſdam in homines ſtudij ſunt: demiſſionis, quæ perficiuntur; bonitatis, quæ apparent. Gratè excipe Deum ipſum ad te venientẽ: ipſe enim auferet iniquitates tuas, & peccata tua expiabit. In te primùm mundi vniuerſi informetur luſtratio: in te ac per te innoteſcat Exod. 19. 16. 2. Reg. 6. 6.

ἔθνεσιν ἡ κατὰ χάριν δικαίωσις. σὺ ἄξιος τῆς ζωοποιοῦ ἀπαρχῆς. Ἀπήλαυσας νόμου; ἀπόλαυσαι καὶ τῆς χάριτος. κέκμηκας τῷ γράμματι; ἀνακαινίσθητι ἐν τῷ πνεύματι. ἀπέκδυσαι τὴν παλαιότητα, καὶ ἔνδυσαι τὴν καινότητα. ταῦτα γάρ σε ἠγνοηκέναι οὐ δοκῶ. Ἐπὶ τούτοις πᾶσι παρρησιασάμενος ὁ δίκαιος, καὶ τῇ προτροπῇ εἴξας τῆς διακονησαμένης θεῷ πρὸς ἀνθρώπους θεομήτορος, ὑπεδέξατο μὲν ταῖς γηραλέαις ἀγκάλαις τὸν ἐν νηπιότητι παλαιὸν τῶν ἡμερῶν, εὐλόγησε δὲ τὸν θεόν, καὶ εἶπε· Νῦν
» ἀπολύεις τὸν δοῦλόν σου δέσποτα
» κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ. Ὅτι εἶδον
» οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοί-

gentibus, quæ ſecundùm gratiam eſt iuſtificatio. tu viuificis hiſce primitiis dignus. Uſus es Lege? vtere & gratia. fatigatus es litera? renouare nunc ſpiritu. exue vetuſtatem; induere nouitatem. hæc enim te ignorare nequaquam exiſtimo. Ex quibus dictis iuſtus ille fiduciam ſumens, exhortationibusq́ue Dei matris, Deo erga homines ſubſeruientis, obediens, ſenilibus ſuis vlnis antiquum *illum* dierum, *in infantia exiſtentem, ſuſcepit; Deumq́ue dilaudans ait:* Nunc dimittis ſeruum tuum, Domine, ſecundùm verbum tuum in pace. Quia viderunt oculi mei ſalutare tuum: *Daniel. 7. 13.* *Luc. 2. 29.* Symeonis ad IESVM oratio.

„ ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων
„ τῶν λαῶν φῶς εἰς ἀποκάλυψιν
„ ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ἀπέλαβον τὴν παρὰ σοῦ ἄλυπον χαράν· ἀπόλαβέ με *χαιρόμενον, καὶ ἀνευφημοῦντα τὰ ἐλέη σου κύριε. Ἀπέδωκάς μοι τὴν εὐθυμίαν· ἀποδίδωμί σοι εὐθύμως τὰ εὐχαριστήρια. Ἔγνων ἀγάπης θεοῦ δύναμιν. δι' ἐμὲ γὰρ ὁ ἐκ σοῦ θεὸς ἀνερμηνεύτως καὶ ἀῤῥεύστως γεννηθεὶς ἄνθρωπος γέγονεν. Ἔγνων τῆς σῆς περὶ ἡμᾶς κηδεμονίας τὸ ἀνέκφραστον μέγεθος, ὅτι τὰ σὰ θεῖα σπλάγχνα ἐξαπέστειλας εἰς βοήθειαν ἡμῶν. ἔγνων ὃ ἐδιδάχθην
„ ὑπὸ Σολομῶντος· Κραταιά, λέ-
„ γοντος, ὡς θάνατος ἡ ἀγάπη.

*ἴσως χαίροντα.

Διὰ

quod paraſti ante faciẽ omnium populorum: lumen ad reuelationem gentium, & gloriam plebis tuæ Iſraël. *Accepi abs te omnis triſtitiæ expertem lætitiam: tu Domine me lætantem, miſericordiasque tuas deprædicantem, accipe. Tu animi hoc mihi dediſti gaudium: ego gratiarũ tibi munus gaudens rẽpendo. Cognoui diuini in nos amoris potentiam. noſtrâ enim causâ Deus ex te inenarrabiliter & abſque corruptione generatus, eſt homo nunc factus. Agnoſco, ô Deus, tuæ erga nos ſolicitudinis non dicendã magnitudinem: quoniam diuina tua viſcera in noſtrũ auxilium emiſiſti. nunc demum intelligo illam Salomonis doctrinam dicentis:* Fortis vt mors dilectio. *Cant. 8. 6.*

Διὰ ταύτης γὰρ συντριβήσεται τοῦ
θανάτου τὸ κέντρον· διὰ ταύτης
νεκροὶ ζωὴν ὄψονται· διὰ ταύτης
θάνατος μαθήσεται θάνατον,
παυσάμενος τῆς καθ' ἡμῶν ἐπι-
κρατείας· διὰ ταύτης καὶ ὁ ἀρχέ-
κακος ὄφις αἰχμάλωτος γενή-
„ σεται καὶ ὑποβρύχιος. Ἐγνώρισας
„ ἡμῖν κύριε τὸ σωτήριόν σου, ἀνα-
στήσας ἡμῖν φυτὸν εἰρήνης, καὶ οὐκέτι
ἐσόμεθα πλανώμενοι. Ἐγνώρισας
ἡμῖν κύριε ὅτι οὐκ εἰς τέλος ὑπερ-
εῖδες τοὺς δούλους σου ἀγαθέ, οὐδὲ
ἐπελάθου ἔργα χειρῶν σου. Κατοι-
κτειρήσας γὰρ ἡμῶν τὴν ἐλεεινότη-
τα, δαψιλῶς ἐξέχεας ἐφ' ἡμᾶς
τὴν ἔμφυτον καὶ ἀνεξάντλητόν σου
ἀγαθότητα, διὰ τοῦ μονογενοῦς καὶ
ἀπαραλ-

Per eam enim ſtimulus mortis conteretur: per eam mortui vitam videbunt: per eam mors mortem experietur, imperio, quod in nos hactenus exercuerat, deinceps ceſſante: per eam & ſerpens malorum principium capietur & ſubmergetur. Notum nobis Domine *Pſal. 97. 2.* feciſti ſalutare tuum, *propaginem nobis pacis exſuſcitans; neque ampliùs errantes erimus. Manifeſtum nobis Domine reddidiſti, non in finem te ſeruos tuos deſpexiſſe; neque opera manuum tuarum, ô bone, oblitum fuiſſe. Miſertus enim miſerabilis noſtræ conditionis, ingenitam tibi atque inexhauſtam bonitatem copiosè in nos effudiſti, per vnigenitum, immutabilem, eiuſ-*

demque

ἀπαραλλάκτου καὶ ὁμοουσίου παιδός σου τὴν λύτρωσιν ἡμῶν ποιησάμενος, ἀνάξιον κρίνας τῆς σῆς μεγαλωσύνης καὶ χρηστότητος οἰκέτῃ τὴν τῶν σῶν οἰκείων καταπιστεῦσαι σωτηρίαν καὶ εὐεργεσίαν, ἢ λειτουργῷ ἐγχειρῆσαι τὴν τῶν προσκεκρουκότων καταλλαγήν· ἀλλὰ διὰ τοῦ
„ ὁμοουσίου φωτὸς φῶς τοῖς ἐν σκότει καὶ
„ σκιᾷ θανάτου καθημένοις ἐδωρήσω, ἵνα ἐν τῷ σῷ φωτὶ ἴδωσι φῶς γνώσεως· καὶ διὰ τοῦ δεσπότου καὶ δημιουργοῦ εὐδόκησας ἀναπλάσαι ἡμᾶς εἰς ἀφθαρσίαν, καὶ διὰ τοῦ ἀφορίσαντος ἐκ παραδείσου τρυφῆς τὴν εἰς παράδεισον αὖθις ἐπανάζευξιν ἐχαρίσω· καὶ διὰ τοῦ ἔχοντος ἐξουσίαν ἀφιέναι ἁμαρτίας

demq́ue tecum ſubſtantiæ Filium tuum, redemtionem noſtram operatus: magnitudine tua ac bonitate indignum iudicans, famulorum tuorum ſalutem, beneficiumq́; hoc tuum, ac reconciliationem eorum qui te offenderant, famulo cuipiam tuo credere ac commendare; ſed per lumen illud eiuſdem tecum ſubſtantiæ Filium tuum, iis, qui in tenebris Eſai. 9. 2.
& vmbra mortis ſedebant, *lumen* & 42. 7.
donaſti: vt in lumine tuo, *cognitio-* Pſal. 35. 10
nis videant lumen: ac per Dominum, rerumq́; omnium conditorem, placitum tibi fuit, nos in immortalitatem reformare; & per eum ipſum, **qui nos ex* Chryſoſt.
paradiſo deliciarũ exterminauerat, reditum in paradiſum nobis elargiri. ad hæc, per eum, qui habet poteſtatẽ dimit-

λόγῳ εἰς τὴν μεγάλην παρασκευήν. πεπλήρωκε ἡμῖν.

tendi

» πας τὸ καθ' ἡμῶν χειρόγραφον
» ἐξήλειψας· καὶ διὰ τοῦ ζωοφόρου
καὶ ἀνεκφοιτήτου τῆς θείας σου φύ-
σεως τὴν πρὸς σὲ καταλλαγὴν
καὶ προσαγωγὴν ἐν πεποιθήσει
ἐφιλοτιμήσω· ὅπως διὰ δεσπότου
ἀβασιλεύτου, καὶ θεοῦ ἀληθινοῦ καὶ
ἐξουσιαστοῦ ὁ τῶν τοσούτων καὶ τηλι-
κούτων ἀγαθῶν θεσμὸς ὑπογρα-
φόμενος ἀναμφίβολα τοῖς ἐλεου-
μένοις καταστήσῃ τῇ χάριτι τὰ
δίκαια. Περὶ ὅτου καὶ ὁ προφήτης
» προεμήνυσε λέγων· Οὐ πρέσβυς,
» οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ κύριος
» ἔσωσεν αὐτοὺς παρὰ τὸ ἀγαπᾷν
» αὐτὸν αὐτούς, καὶ φείδεσθαι αὐτῶν,
» καὶ ἀνέλαβε, καὶ ὕψωσεν αὐτούς. Καὶ
ταῦτα πάντα οὐκ ἐξ ἔργων ἡμῶν

tendi peccata, chirographũ contra nos factum deleuiſti: *denique per eum, qui tibi perpetuò aſſidet, quique à diuinâ tuâ naturâ diſcedere non poteſt, firmam nobis ad te adeundi fiduciam, amicamque reconciliationem tribuiſti. vt per Dominum, in quem nulli imperium eſt, Deumque verum, & abſolutæ potentiæ, tantorũ bonorum velut ſanctio ſubſcripta, miſericordiam iam conſequutis certa atque indubitata beneficij in nos ſui iura conſtituat. (Cuius rei & Propheta iam antea meminerat dicens:* Non Legatus, non Angelus; ſed ipſe Dominus ſeruauit eos, propterea quòd amaret eos, & parceret ipſis: & ſuſcepit & exaltauit eos. *atque hæc omnia non ex* Coloſ. 2. 14. Eſa. 63. 9.

τὴν ἐν δικαιοσύνῃ, οὐδ᾽ ὅτι ἡμεῖς σε
ἠγαπήσαμεν (ὁ γὰρ γηγενὴς ἡμῶν
προπάτωρ καὶ τὴν ἐν παραδείσῳ
ἀοίδιμον τρυφὴν καὶ διαγωγὴν
τιμηθεὶς, τὴν θείαν καὶ σωτήριόν σου
ἐκφαυλίσας ἐντολὴν, ἀποδόκιμος
ζωηροῦ χώρου ἐκείθη, καὶ τὸ πᾶν αὐτοῦ
σπέρμα ἀκινδυνότατον κατέστησε,
τοῖς νόθοις μολύσμασι τῆς ἁμαρ-
τίας συμφυράσας) ἀλλὰ δι᾽ ἑαυ-
τὸν καὶ τὴν περὶ τὸ πλάσμα σου
ἄφατον ἀγάπην ἐκραταίωσας
ἐφ᾽ ἡμᾶς τὸ ἔλεός σου κύριε καὶ ὠ-
κτείρησάς τε τὴν ἀπαγωγὴν ἡμῶν,
καὶ ἑαυτὸν ἐδυσώπησας ἐπὶ τῇ κα-
ταφθορᾷ ἡμῶν τοῦ δοῦναι ἡμᾶς εἰς
οἰκτιρμούς. Ὅθεν ἑορταὶ ἡμῖν λοι-
πὸν συγκεκρότηνται τοῖς ἀδαμι-
αίοις,

operibus noſtris in iuſtitia, neque quòd nos te amauerimus, (primus enim parens ille noſter ex terra genitus, præſtantiſſimisque paradiſi deliciis atque habitatione dignus habitus, diuinum tuum ac ſalutare vilipendẽs præceptum, indignus vitali illo loco eſt iudicatus: atque ita omnẽ ſuam progeniem, ſpuriis peccati propaginibus ipſam immiſcens, in ſummam debilitatem præcipitauit) ſed propter te ipſum, ineffabilemque erga figmentum tuum amorem, miſericordiam in nos tuam, Domine, corroboraſti; noſtramque abs te ſeparationem dolens, teipſum ſuper noſtra corruptione placans, miſerationum tuarum dono accumulaſti. Unde nobis Adæ ſoboli feſta deinceps cum plauſu aguntur:

αἰοις, ὅτι ὁ πλαστουργὸς τοῦ Ἀδὰμ ἑκοντὶ νέος Ἀδὰμ γέγονε· καὶ ἡ λαμπρότης κυρίου τοῦ θεοῦ ἡμῶν μεθ' ἡμῶν κατεγένετο, ὥστε ἰδεῖν θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ σωθῆναι. τοῦ ἕνεκα ὦ δέσποτα τὴν παρὰ σοῦ ἀπόλυσιν ἐπιζητῶ. Εἶδον τὸ σωτήριόν σου, ἀπολυθῶ τοῦ γραμματοκύφου ζυγοῦ. εἶδον βασιλέα ἀΐδιον καὶ ἀδιάδοχον, ἀπολυθῶ τοῦ δουλικοῦ καὶ ἀχθοφόρου κλοιοῦ. εἶδον φύσει δεσπότην ἀδέσποτον καὶ ἐλευθερωτὴν, τύχοιμι τοῦ ἐλευθερικοῦ αὐτοῦ θεσμοῦ. Λῦσόν με τοῦ ζυγοῦ τῆς κατακρίσεως, καὶ ὑπόζευξον τῷ ζυγῷ τῆς δικαιώσεως. λῦσόν με τοῦ ζυγοῦ τῆς ἀρᾶς, καὶ τοῦ ἀποκταίνοντος γράμματος, καὶ ἔνειρον τῷ ἀριθμῷ

τῆς

quòd qui Adamum illum formauerat, ſponte ſua nouus Adam factus eſt; Splendorque Domini Dei noſtri nobiſcum habitauit: vt iam videntes Deum facie ad faciem, conſeruemur. Hanc ob cauſam, ô Domine, vt in pace dimittar, abs te peto quæroque. Vidi ſalutare tuum; abſoluar ergo nunc literæ incuruo iugo. Vidi Regem ſempiternum, quique ſucceſſore caret; abſoluar ponderoſo hoc ſeruilique collari. Vidi Dominum naturâ ſuâ omni dominio ſuperiorem, liberatorem noſtrum; conſequar igitur libertatis meæ ab ipſo decretum. Solue me Domine iugo condemnationis, & ſubde me iugo iuſtificationis. Solue me iugo maledictionis literæq; occidentis, & inſere me numero

τῆς εὐλογίας τῶν εἰς υἱοθεσίαν εἰσποιουμένων τῇ χάριτι τοῦ ἀληθινοῦ καὶ ὁμοδόξου καὶ ὁμοδυνάμου τούτου υἱοῦ σου. Ἔστωσαν δέ μοι φησὶ τὰ θεῖα εὐχαριστήρια πρὸς τὸ παρὸν ἄχρι τῶν βραχυτάτων τούτων. Τί δὲ πρὸς σὲ φθέγξωμαι ὦ μῆτερ παρθένε, καὶ παρθένε μῆτερ; Ἧς γὰρ τὸ ἔργον οὐκ ἀνθρώπινον, ταύτης καὶ ὁ ἔπαινος ὑπὲρ ἄνθρωπον. Διὸ τῆς ἀπορίας τὸ σκυθρωπὸν ἐκ τῶν τοῦ πνεύματος περὶ σὲ καταλαμπρυνῶ γερῶν, καὶ τὰ σὰ σοὶ προσκομίζων ἐκ λειμώνων ἀθανάτων τὴν ἱεράν σου καὶ θεοστεφῆ ἀνυμνήσω κάραν· πατρικοῖς σε ὕμνοις προσφθέγξομαι, θύγατερ Δαβὶδ, καὶ μῆτερ τοῦ κυρίου καὶ θεοῦ Δαβίδ.

Αἰσχρὸν

benedictionis, eorum qui in filiorum ius ſunt adſcripti, beneficio veri eiuſdemq; tecum gloriæ ac potentiæ Filij. Sint porrò, inquit, hæc diuinis in nos muneribus breuiſſimè hactenus celebrandis commemorata. Ad te verò quid dicam, ô mater virgo, & virgo mater? Cuius enim opus non humanum eſt, eius nempe laus quoque hominem excedit. Quamobrem paupertatis hîc meæ obſcuritatem donis muneribusque, quæ in te Spiritus contulit, illuſtrabo: quæque tua ſunt tibi offerens, ex immortalibus pratis ſacrũ tuum & à Deo coronatum caput dilaudabo: teque, ô Dauid filia, & Domini ac Dei Dauid mater, patriis ac peculiaribus tibi hymnis prædicabo. Ad Mariã.

Αἰσχρὸν γὰρ ἅμα καὶ δύσφημον ἀλλοτρίοις κόσμοις κοσμῆσαι τὴν τῇ οἰκείᾳ δόξῃ διαφέρουσαν. δέχου τοίνυν εὐμενεστάτη δῶρα τίμια, καὶ σοὶ μόνῃ ἁρμόδια, ὦ πασῶν γενεῶν ὑψηλοτέρα, καὶ πάντων ὁρατῶν τε καὶ ἀοράτων δημιουργημάτων τιμιωτέρα φανεῖσα. Μακαρία ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ τρισμακάριος ὁ οἶκος Δαβὶδ, ἐν ᾧ ἐβλάστησας.
» Ὁ θεὸς ἐν μέσῳ σοῦ, καὶ οὐ σαλευ-
» θήσῃ. ἡγίασε γὰρ τὸ σκήνωμα αὐτοῦ
» ὁ ὕψιστος. Ἐν σοὶ γὰρ διαθῆκαι καὶ ὁρκωμοσίαι θεοῦ πρὸς τοὺς πατέρας ἡμῶν τέλος εὐκλεέστατον ἐδέξαντο, ὅτι διὰ σοῦ γέγονε κύριος ὁ θεὸς τῶν δυνάμεων μεθ' ἡμῶν. Τὸν σὸν προδιαγράφουσα

θεοπρε-

Turpe enim fuerit, atque adeò inauſpicatum, alienis te ornamentis exornari, propriâ gloriâ præcellentem. Accipe igitur, ô benigniſſima, dona pretioſa, tibiq; vni conuenientia, ô omnibus generationibus excelſior, omnibusque viſibilibus atque inuiſibilibus operibus longè præſtantior declarata. Felix radix Ieſſe, & ter beata domus Dauid, in qua tu germinaſti. Deus in medio tui, & non commoueberis. Sanctificauit enim te tabernaculum ſuum Altiſſimus. *In te quippe fœdera ac Dei iuramenta ad patres noſtros finem glorioſiſſimum acceperunt: quia ex te natus eſt Dominus Deus ille virtutum nobiſcum. Atque hoc eſt, quòd*

Pſal. 45. 6.

Pſal. 45. 5.

Exod. 3. 2.

θεοπρεπῆ χαρακτῆρα θεὸν ἔφερεν ἀφλέκτως ἡ ἄψαυστος βάτος, ἐμφανιζόμενον τῷ προφήτῃ ὡς ὁραθῆναι ηὐδόκησε. Στερέμνιος δ' αὖ* καὶ πέτρα ἀκρότομος τὴν παγκόσμιον ἐκ σοῦ πηγάσασαν χάριν καὶ ἀνάψυξιν προεξεικονίζουσα παραμύθιον ἴαμα ἐκλείποντι λαῷ ἐκ λαγόνων ξηρῶν ἐν ἐρήμῳ δαψιλῶς προήγαγεν. Οὐ μὴν δὲ ἀλλὰ καὶ τοῦ ἱερέως ἡ ῥάβδος οὐκ ἀδόκιμον σύσσημον παρέχετο τοῦ ὑπερφυοῦς σοῦ λοχείας, ἀγεώργητον καρπὸν ἐξανθήσασα, ἱερατείας ἐνδελεχοῦς ἀῤῥαβῶνα. Τί δέ, οὐχ ὁ μέγας Μωϋσῆς οὐ κομιδῇ παρέστησε, διὰ τοῦ περὶ σὲ δυσκαταλήπτους τύπους *ἐγχρονίσαι τῷ ὄρει

Fort. πέτρα πηγ.

Fort. ἐγχρονίσας.

ἔγνω

rubus ille intactus ab incendio, atque illæſus, tui figuram diuinæ cuiuſpiam maieſtatis plenam iam tum, velut delineans, Deum in ſe geſtauit, Prophetæ, quando vt ab ipſo videretur, ei placitum fuit, conſpicuum factum. Dura autem rurſus ac præruptà petra, quod ex te in vniuerſum orbem beneficium refrigeratioque promanauit, & ipſa diu antè exprimens præfiguransque, populo ex ſiccis terræ hiatibus in deſerto deficienti copioſum gratumq; produxit auxilium. Quin & Sacerdotis virga non obſcuram ſignificationem ſupernaturalis tui partus exhibuit; in fructum citra vllam culturam effloreſcens, Sacerdotis videlicet perennis arrhabonem. Quid? nónne idem Moyſes ille magnus luculentè declarauit, propter figuras intellectu difficiles, quæ te tangebant, diutius in mon-

Exod. 3.2. Exod. 17.6 Num. 17.8 Heb. 9.4.

For. ἄγνωτα. *ἔγνω τὰ περὶ τῆς ἁγνῆς ἐκδιδάσκεσθαι μυστήρια; πῆξαι γὰρ κατὰ σύμβολον καὶ πρὸς ἀφομοίωσιν κιβωτὸν ἐν ταύτῃ προσταχθεὶς, οὐ παρέργως ἐχρήσατο τοῖς προστεταγμένοις, εἰ καὶ τραγῳδούμενα συμβέβηκεν ἐπὶ τῇ καταβάσει, ἀλλ' εἰς πέντε ἡμισυπήχους ταύτην συντελέσας νομοδόχον ἀνέδειξε, τοῖς Χερουβὶμ συγκαλυπτομένην,
Fortè θεοδόχον. ἐμφαντικώτατα σὲ τὴν *θεοτόκον προσημαίνουσαν, τὴν ἀφθόρως ἐγκυμονήσασαν, καὶ ἀφράστως ἀποκυήσασαν τὴν τῆς ἀφθαρσίας σύστασιν ἐπὶ τέλει τῶν πέντε ἡμίσεος τοῦ κόσμου κύκλων. Διὰ σὲ, καὶ τὴν ἐκ σοῦ ἄχραντον τοῦ θεοῦ λόγου σάρκωσιν, τὴν εἰς ἀεὶ ἀτρέπτως τε καὶ ἀμε-

in monte commoratus, vt ignota de te, ô caſta, ſacramenta edoceretur? ad rei enim huius ſignificationem ſimilitudinemq́ue exprimendam, arcam fabricare iuſſus, non obiter, velutq́ue aliud agens, mandatis obtemperare aggreſſus eſt; quamquam ipſo deſcendente tragica quædam accidiſſent; ſed in quinque atque dimidium cubitos, arcam illam ſuſceptricem Legis, Cherubim coopertam, te Dei ſuſceptricem apertiſſimè repræſentantem, poſtquam conſtruxiſſet, in medium protulit: te inquam repræſentantem, quæ ſine corruptione concepiſti; & ineffabiliter eum, qui incorruptionis eſt auctor ac firmamentum, peperiſti, idq́ue in fine quinque & dimidij circulorum mundi. Propter te ac intemeratam Dei Verbi ex te incarnationem, ſemper immutabiliter, atque indiuisè

καὶ ἀμεείστως ἐν αὐτῷ διαμένουσαν, καὶ ἡ χρυσῆ στάμνος, ὡς τύπος ἀψευδέστατος, τὸ πρὸς ἡμέραν τρεπόμενον καὶ ἀλλοιούμενον μάννα ἄτρεπτον καὶ διαιωνίζον ἔνδον αὐτοῦ διεφύλαττε. Τῆς σῆς ἁγνείας καὶ ὁ προφήτης Ἠλίας προθεωρὸς καὶ ζηλωτὴς ὑπάρχων διὰ τοῦ πνεύματος, πυρφόρου πολιτείας ἀνεδήσατο στέφανον, κρείττων θανάτου ἀναδειχθεὶς θείᾳ ψήφῳ ἄχρι τῆς δεῦρο. Σὲ καὶ ὁ τούτου διάδοχος Ἐλισσαῖος παρὰ τοῦ σοφοῦ διδασκάλου μυηθεὶς, καὶ ὡς παροῦσαν τὴν μήπω οὖσαν προδιατυπῶν ὑπερφυῶς τοῖς τεκμηρίοις τῶν ἀληθινῶν, τὰς ἐπικουρείας ἐποιεῖτο τῶν δεομένων, πῆ μὲν δι' ὑδρείας καινῆς, καὶ συν-

νοσίμους

*indiuisè in ipſo permanentem, vrna illa aurea tãquam typus certiſſimus, manna, quod antea in diem inuertebatur ac immutabatur, in ſe minimè mutatum, ſed in ſecula permanens conſeruabat. Puritatis etiam tuæ Elias Propheta præſcius atque imitator in ſpiritu quum eſſet, vitæ illius *igniferæ ſibi coronam colligauit; in hunc vſque diem diuino ſuffragio morte ſuperior declaratus. Te quoque eiuſdem ſucceſſor Eliſæus, à ſapiente magiſtro his ſacris initiatus, tamquam iam exiſtentem, quæ tamen nondũ exiſtebas, præfigurans; ſupra naturam ſignis quibuſdam, rerum earum, quæ poſtea futuræ eſſent, veris indicibus, auxilium medicinamq́ue indigentibus attulit; nunc per nouam hydriam*

ſalu-

Heb. 9. 4.

4. Reg. 2. 11.

*Alluſio ad locũ *Eccli. 48. a.*

4. Reg. 2. b. Vide Dorotheum in Synopſi de Helia.

4. Reg. 2. 20.

νοσίμους ἐχούσης ἅλας τὰ φθοροποιὰ ὕδατα ἰώμενος, εἰς ἔνδειξιν τοῦ * δυνασφήλοντος κόσμου διὰ τοῦ ἐπὶ σοὶ μυστηρίου, πῆ δὲ ἀλεύρῳ ἀζύμῳ λοχείας ἀσπόρου ἀντιτύπῳ θανάτου πικρίαν ἀναστέλλων ἀπὸ τῶν ἐδωδίμων, ἄλλοτε δὲ τοῖς ὑπερφυέσι τὰ κατὰ φύσιν ὑπερνικῶν ἐν τῷ Ἰορδάνῃ, καὶ διὰ τούτων τὴν κατάδυσιν τοῦ κυρίου ἡμῶν εἰς ᾅδην, καὶ παράδοξον ἀνάρρυσιν τῶν ἐν φθορᾷ κατεχομένων περιϊστορῶν. Πάντα γὰρ εἶκόν τε καὶ ὑπέκυπτον τῇ σῇ θείᾳ εἰκόνι ἐκνικώμενα. Καὶ τί ἔτι περιπλέκων μηκύνω τὸν λόγον, τοῖς ποικίλοις προγραμμοῖς ἐπαφήσας τοῦ λόγου τὰς ἡνίας, καὶ μάλιστα πρὸ ὀφθαλμῶν ἐστηλω-

Forte ἀνασφήλαντος.

ſalutare in ſe ſal continentem, aquas exitiabiles ſanans;ad oſtendendũ,mundum per ſacramẽtum in te iam editum eſſe recreandum: partim verò farina azyma partus tui, ſatu immunis, typo reſpondente, mortis acerbitatem à cibis profligans: nonnumquam denique virtute ſupernaturali res naturales, vt in Iordane, ſuperans; ac per hoc ipſum deſcenſionem Domini noſtri ad inferos, inopinatamque eorum, qui in corruptione detinebantur, liberationem præſignans. Omnia enim hæc, licet longè inferiora, diuinæ tuæ imagini exprimendæ ſubſeruierunt. Et quid variis hiſce figuris adferendis orationis meæ curſum inuoluens implicansque, vlterius me extendo: quum rem ipſam in te confirmatam

4. Reg. 4. 41.

4. Reg. 5. 10. 6. 5.

H *ante*

ἐςηλωμένης τῆς ἐπί σοι ἀπεκείας; ἢ καὶ καταπευφῆσαι ἄμεινόν καὶ ἐπικερδέςερον. Τοιγαροῦν χαίρειν φράσας τοῖς τῶν ἁγίων κατὰ πᾶσαν γενεὰν πνευματικοῖς διηγήμασι καὶ τερατουργήμασιν, ἐπὶ σὲ μετάγω τοὺς τῆς εὐωχίας οἴακας παντομνημόνευτε. Εὐλογημένη σὺ πανευλόγητε καὶ πασιπόθητε. Ἐπ' εὐλογίαις κυρίου τὸ θεοχαριτώτατόν σου ὄνομα θεογεννήτωρ καὶ δαδοῦχε τῶν πιςῶν. Ἡ περιγραφὴ (ἵν' οὕτως εἴπω) τοῦ ἀπεριγράπτου, ἡ ῥίζα τοῦ ὡραιοτάτου ἄνθους, ἡ μήτηρ τοῦ πλάσαντος, ἡ τιτθὴ τοῦ τρέφοντος, ἡ περιοχὴ τοῦ περιέχοντος, ἡ φέρουσα τὸν φέροντα ῥήματι τὰ πάντα, ἡ πύλη τῆς ἐν σαρκὶ ἀνατολῆς τοῦ θεοῦ,

ἡ λαβὶς

*ante oculos intueamur? in qua velut eluxuriari longè vtilius commodiusq́ue fuerit. Quare Sanctorum, qui per omnes generationes fuerunt, ſpiritualibus narrationibus factisq́; prodigioſis valere iuſſis, ad te gaudij huiuſce mei ſermonisq́ue velut clauum dirigo, prædicatu digniſſima. Benedicta tu, prorſus benedicta, omnibusque deſiderabilis. In benedictionibus Domini nomen tuum, diuinâ gratiâ pleniſſimum, Dei mater, fidelibusq́ue tuo lumine prælucens. Tu circumſcriptio, vt ita dicam, eius, qui circumſcribi non poteſt; *radix floris ſpecioſiſſimi; mater Plaſmatoris; nutrix altoris; complexio eius, qui cetera complectitur; portãs eum, *qui verbo portat omnia; *porta, per quam Deus in carne* Eſai. 11. 1. Hebr. 1. 3. Ezech. 43. 4.

 exori-

ἡ λαβὶς τοῦ καθαρτικοῦ ἄνθρακος, ὁ βραχὺς κόλπος τοῦ πάντων κόλπου, ὁ πόκος τῆς ἀκαταλήπτου δρόσου, ὁ τῆς ἐπιθυμίας Δαβὶδ ζωοδόχος λάκκος, τῆς Βηθλεὲμ, ἀφ' οὗ πόμα ἀθανασίας ἐξέβλυσε, τὸ ἱλαστήριον ἐξ οὗ θεὸς ἐγνώσθη ἀνθρώποις ἀνθρωπομόρφως, τὸ ἄσπιλον
,, ἔνδυμα τοῦ ἀναβαλλομένου φῶς
,, ὡς ἱμάτιον, ἡ δανείσασα θεῷ τῷ ἀνενδεεῖ σάρκα ἥνπερ οὐκ εἶχεν, ἵνα ᾖ ὁ παντοδύναμος ὅπερ ηὐδόκησε. Τί τούτου περιφανέστερον; τί τούτου ὑψηλότερον; ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν πληρῶν, οὗ τὰ σύμπαντα κτήματα, σοῦ γεγένηται ἐπιδεής· σὺ γὰρ ἐδανείσας θεῷ θείαν σάρκωσιν, ἣν οὐκ εἶχε. Σὺ ἐθωράκισας

*exoritur; *forceps carbunculi illius pur-* Eſa. 6. 6.
gatorij; ſinus exiguus immenſi illius
*ſinus, omnia in ſe concludentis; *vellus* Iud. 6. 37.
*imperceptibilis roris; deſiderij *Dauid* 2. Reg. 23.
in Bethleem ille viuificus lacus, ex 15.
quo poculum immortalitatis ſcaturiuit;
**propitiatorium, ex quo Deus homini-* Exod. 25.
bus in forma humana innotuit; veſtis 17.
abſque macula eius, qui induit lu- Pſal. 103.
men ſicut veſtimentum; *Deo nul-* 2.
lius alioqui indigenti, quam antè non
habuerat, carnem fœnerans; qua om-
nipotens ille Deus, quod ipſi decretum
fuerat, homo appareret. Quid hoc ſplen-
didius? quid hoc ſublimius? qui cælum Ierem. 23.
terramque implet, cuius ſunt omnes re- 24.
rum poſſeſſiones, tui indigus efficitur:
quippe quum fœneraueris Deo diuinam
incarnationem, quam non habebat. Tu

κισας τὸν δυνατὸν τὴν εὐπρεπῆ τοῦ σώματος πανδοχίαν, δι' ἧς αὐτὸς μὲν ὀφθῆναι χωρητὸς ἐμοὶ δεδύνηται· ἐγὼ δὲ εὐπροσίτως ἀντωπῆσαι αὐτῷ ἐνίσχυσα, δι' ἧς καὶ πάντα τοῦ πονηροῦ τὰ πεπυρωμένα βέλη σβεσθήσεται. Εὖγε εὖγε μήτηρ θεοῦ καὶ δούλη, εὖγε εὖγε ἡ ὑπόχρεων ἔχουσα τὸν πάντων δανειστήν. Πάντες μὲν θεῷ ἐποφείλομεν, σοὶ δὲ ἐποφείλεται. Ὁ γὰρ εἰπών,
» Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα, πολλῷ μᾶλλον αὐτὸς ἐν τούτοις ἐξετάζεσθαι ἑλόμενος φυλάξειε τὴν χάριν καὶ τὸ ἴδιον δόγμα τῇ διακονησαμένῃ τὴν αὐθαίρετον γέννησιν, καὶ δοξάσειε θεοπρεπῶς ἣν ἐπεγράψατο ἀπάτωρ ὡς ἄνανδρον

armaſti potentem illum decorâ corporis armaturâ, per quam oculis noſtris conſpicuus redditur; vtque eum libero deinceps acceſſu mihi intueri liceat, conceditur. quâ etiam armaturâ omnia Mali ignita tela extinguentur. Epheſ. 6. 16. *Euge, euge mater Dei atque ancilla: euge, euge, quæ tibi obnoxium habes illum omnium fœneratorem. Omnes namque Deo debitores quum ſimus; tibi ipſe eſt debitor. Qui enim dixit;* Honora patrem Exod. 20. 12. tuum & matrem; *longè præ ceteris in hoc ipſo probari volens gratiam habebit; præceptumque ipſe ſuum erga eam, quæ ipſi ſpõtaneam ex ſe generationem ſubminiſtrauit, conſeruabit: glorificabitque diuino quodam decore, quam ſibi ille patris expers matrem abſque viri*

δρον μητέρα. Ἔςαι τοίνυν ταῦτα οὕτως ἔςαι. οὐ γὰρ κομψοεπείας ἀκάρπου οἱ προσαχθέντες σοὶ παρ' ἡμῶν ὕμνοι παναγιώτατον καὶ ἀξιάγαςον τοῦ θεοῦ ἐνδιαίτημα· οὐδ' αὖ κοσμικῆς λογολεσχίας καὶ ψευδαρεσκείας λαρυγγίσματα ὁ πνευματικός σου ὕμνος θεοεπαίνετε, καὶ θεὸν ἔχουσα ὑπομάζιον, τὸν τοῖς βροτοῖς ἀρχὴν τοῦ εἶναι διὰ γεννήσεως παρέχοντα, ἀλλ' ἐναργοῦς ἀληθείας. Επιλείψει γὰρ ἡμῖν ὁ χρόνος, καὶ ταῖς μετέπειτα γενεαῖς τὸν κατ' ἀξίαν σοι ἀποδοῦναι μακαρισμὸν τῇ μητρὶ τοῦ βασιλέως τῶν αἰώνων, ὥς που φησὶν ὁ ἀοίδιμος προφήτης, τὰ τῆς σῆς ἀκαταληψίας ἡμᾶς ἐκπαιδεύων·

Ὡς

interuentu adſcripſit. Erunt hæc ita, erunt, inquam, ita. neque enim ad inutilem tantùm verborum ornatum ſeruiunt hymni, qui à nobis tibi offeruntur, ſanctiſſimum admirabiliſſimumq; Dei habitaculum: neque rurſus mundanæ cuiuſpiam nugacitatis, falſæque oblectationis eructamẽta, ſpiritalis hæc de te laudatio eſt, ô Deo approbata, Deumq; mortalibus generationis principium tribuentem, vberibus tuis ſubiectum habens; ſed certiſſimæ cuiuſdã manifeſtæque veritatis. Deficiet enim nos, quæque poſt nos futuræ ſunt generationes, tempus, ſi tibi matri Regis ſæculorum, dignã tuæ beatitudinis prædicationem tribuere nitamur: vt celeberrimus quodam loco Propheta ait, quàm prorſus incomprehenſibilis ſis, nos erudiens:

„ Ὡς μέγας ὁ οἶκος τοῦ θεοῦ, καὶ
For. κτή- „ εὐμήκης ὁ τόπος τῆς *κτίσεως αὐτοῦ.
σεως, vt est in Se- „ μέγας, καὶ οὐκ ἔχει τελευτὴν, ὑψη-
ptuag. & sic verti. „ λὸς καὶ ἀμέτρητος. Οὕτως γὰρ ὄντως
προφητικὸς χρησμὸς καὶ ἀψευδὴς
λόγος οὗτος τῆς περὶ σὲ μεγα-
λειότητος· διότι καὶ μόνη συμμερί-
σασθαι θεῷ τὰ τοῦ θεοῦ κατηξίω-
σαι, θεὸν γεννήσασα σαρκὶ μόνη,
τὸν ἐκ θεοῦ πατρὸς μονογενῶς καὶ
φιλαληθεῖς συναϊδίως γεννηθέντα· *φιλαλη-
θῶς οἶδε λόγοι πίστεως ἀκραιφνοῦς
ἀντεχομένων. Ἀπολάβωμεν δὲ
λοιπὸν ὦ φιλομαθέστατοι τὸν θεο-
δόχον πρεσβύτην, καὶ εὐσεβῆ δι-
δάσκαλον, ὧδέ που διανήξαντα
σωτηρίως ἐκ τοῦ παρθενικοῦ πελά-
γους, καὶ διαναπαύσωμεν ἐμπεφο-
ρημένον

Quàm magna, *inquit*, domus Dei, & ingens locus poſſeſſionis eius! magnus, & non habet finem, ſublimis atque immenſus. *Certè enim, certè inquam, propheticum oraculum, mendaciiq́ue expers ſermo de magnificatione tui accipiendus eſt: propterea quòd ſola ſimul cum Deo, eorum quæ Dei ſunt, partem habere digna fuiſti; ſola Deum generans carne indutum, ex Deo Patre unigenè ac ſempiternè generatum; ut veraciter ſentiunt qui fidem ſinceram amplectuntur. Ceterùm quod reliquum eſt, diſcendi ſtudioſa concio, ſenem noſtrum Dei ſuſceptorem, piumq́ue Doctorem, huc ſalubriter ex virginalium laudum pelago adnauigantem ſuſcipiamus; ac requieſcere faciamus deſiderio illo ſuo diuino iam exſa-* Baruch 3. 24.

ῥημένον ἅμα τῆς θείας ἐφέσεως, καὶ ἐμπορευσάμενον ἡμῖν τὴν πανόλβιον θεολογίαν, καὶ ἴωμεν ἡμεῖς πρὸς τὰ ἑξῆς τοῦ λόγου, ἀπλανῶς πρὸς τὸν προκείμενον σκοπὸν ἀπευθύνοντες σὺν ὁδηγίᾳ τοῦ κρείττονος τὴν τρίβον, ὅπως μὴ παντὴ ὦμεν ἄκαρποι καὶ ἀσυντελεῖς πρὸς τὰ δέοντα. Ἐπεὶ οὖν συνεκλήθησαν πρὸς τὰ ἱερῶς τελούμενα ἱερωσύνη τε καὶ προφητεία, καὶ παρειστήκει τῷ ἐνδόξῳ καὶ παρθενικῷ θρόνῳ ξυνωρὶς θεοκλήτων δικαίων, (Συμεῶνός φημι καὶ Ἄννης) ἑκατέρων τῶν λαῶν ἐναργεστάτας φερόντων τὰς εἰκόνας. Ὁ μὲν πρεσβύτης τοῦ Ἰσραὴλ καὶ τοῦ γηράσαντος νόμου, ἡ δὲ χήρα τῆς ἐξ ἐθνῶν χήρας τὸ

τὴν-

exſaturatum, opulentiſſimamque hanc de rebus diuinis doctrinã nobis ſuppeditantem; & ad ea, quæ reſtant huiuſce ſermonis, progrediamur; ſine errore ad præſtitutum nobis ſcopum, Dei optimi ductu, curſum dirigentes, ne prorſus ad ea, quæ nobis ex officio incumbunt, velut infructiferi inutilesque reperiamur. Ad ſacra igitur hæc piè caſteque perficienda, Sacerdotium & Prophetia aduocata fuêre; glorioſoque Virginis throno biga hæc à Deo excitorum iuſtorum Symeonis & Annæ adſtitit: qui duo duorum populorum apertiſſimas imagines in ſe geſtauerunt. Nam & ſenex populum Iſraëliticum Legemque iam velut effœtam; vidua autem ex Gentibus

Symeon & Anna typus duorũ populorum.

τηλικαῦτα ἐκκλησίας. ὁ μὲν οὖν πρεσβύτης προσωποποιούμενος τὸν νόμον τὴν ἀπόλυσιν ἐξεζήτει· ἡ δὲ τῆς ἐκκλησίας προσωποποιὸς τὴν ἀνθομολόγησιν προσεκόμιζε, καὶ τοῖς ἀπεκδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλὴμ τὰ περὶ αὐτοῦ ἐλάλει, καθὼς γέγραπται, εὖ μάλα ἁρμοδίως καὶ ὑπερφυῶς τὰ παρ' ἑκατέροις λαλούμενα, καὶ τῇ ἱερᾷ τελετῇ σύμφημα. Ἔδει μὲν γὰρ ἔδει σαφῶς τὸν μὲν πρεσβύτην ἐπισάμενον τὸ φάσκον τοῦ νόμου
„ διάταγμα, Αὐτοῦ ἀκούετε, καὶ πᾶ-
„ σα ψυχὴ ἥτις ἂν μὴ ἀκούσῃ αὐτοῦ
„ ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐ-
τῆς· ἀπόλυσιν ἐπιζητῆσαι εἰρηνικὴν τῆς νομικῆς παιδαγωγίας. Ὕβρεις

γὰρ

tibus Eccleſiam, quæ eatenus vidua fuerat, præ ſe ferebant. & ille quidem, tamquam ſub Legis perſona loquens, dimiſſionem quæſiuit: hæc autem, Eccleſiæ perſonam induta, confeſſionem contrà adferebat, expectantibusque liberationem in Ieruſalem, ea quæ de Chriſto erant, edicebat: ſicut bene atque appoſitè ac valde egregiè, & feſto huic inprimis conuenientia ab vtroque dicta, conſcripta ſunt. Oportebàt enim, ac planè neceſſarium erat, ſenem quidem, qui Legis decretum præceptumque ſciebat, quod ait: Ipſum audite: & omnis anima, quæ ipſum non audierit, ex populo exterminabitur: *pacificam à legali illa inſtitutione dimiſſionem efflagitare. Iniuria* Deut. 18.

enim,

γὰρ ἅμα καὶ προπέτεια βασιλέως παρόντος καὶ δημηγοροῦντος ὑπασπιστὴν κατάντικρυς ἀντιφθέγξασθαι, ἢ τούτῳ ἐπικλῖναι σοῦ ὑπηκόους τὰ ὦτα. Ἔδει δὲ ἢ τὴν χήραν τυχοῦσαν τῆς ὑπὲρ λόγον τὰ εὐχαριστήρια ἑορτάσαι τῷ θεῷ· ὥστε συνῳδὰ τῷ νόμῳ τὰ ὧδε τελούμενα. Ἐπιζητῆσαι δὲ λοιπὸν τῶν ἀναγκαίων καθέστηκε πῶς τῶν προφητικῶν προτυπώσεων (καθὼς ἀποδέδεικται) ἐπὶ τῶν ἐξαιρέτων τούτων ἑορτασμάτων ἐξαιρέτως ἐχόντων τὴν διαφορὰν καπνοῦ τὸν οἶκον ἐμπεπλῆσθαι λέλεκται, καὶ τοῦτο οὐ παρενθέτως, ἀλλ' ἐνσημαντέρως ἀπὸ τῆς τρισαγίας φω-
ὑφηγητής. νῆς φάσκων ὁ *εἰσηγητὴς, ἧς ἐκέ-

κραγον

enim eſt, atque temeritas, Rege præſente ac verba publicè faciente, ſatellitem aliquem contra obloqui; huicque potiùs, quàm illi, ſubditos aures accommodare. Oportebat etiam viduam, ea, quæ rationem omnem excedebãt, iam conſequutam, Deo pro tanto beneficio lætè gratias reddere: vtpote quum Legi conſona eſſent, quæ ita gerebantur. Ceterùm, quum Propheticæ figuræ, quæ præceſſerant, ad eximias haſce feſtorum celebritates rationem haud dubiè relationemque habuerint, vt dictum eſt, quomodo domus fumo impleta fuiſſe referatur; idque non leuiter, ac velut perfunctoriè, ſed valde ſignificanter, à voce ter SANCTVS *ingeminante, qua,*

 vt Pro-

κεραγον ἢ τῶν ἐπουρανίων μύσαι.
Ἀναλαβὼν δ' οὖν ὦ φιλήκοε τῆς
ἱστορίας τὸ ἐπαγόμενον, εὑρήσεις
,, τὴν αἰτίαν. Ἀκοῇ γάρ φησιν ἀκού-
,, σητε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέπον-
,, τες βλέψητε, καὶ οὐ μὴ ἴδητε. Ἐπεὶ
τοίνυν εἶδον ἀγνώμονες Ἰουδαίων
,, παῖδες τέρατα ἔνδοξα, ἃ ἔθετο ὁ
,, θεὸς ἐπὶ τῆς γῆς κατὰ τὸν μελῳδὸν
Δαβίδ, ἐθεάσαντο δὲ καὶ σημεῖον ἐκ
βάθους καὶ ἐξ ὕψους κατὰ σύνοδον
ἀσύγχυτον καὶ ἀδιαίρετον, ὃν τρόπον
προανεφώνησεν Ἡσαΐας, (τί τοῦ-
το; μητέρα ὑπὲρ φύσιν, καὶ τόκον
ὑπὲρ λόγον, μητέρα ἐπίγειον, καὶ
υἱὸν οὐράνιον, καινὴν φημὶ θεαν-
δρίαν, καὶ λοχὸν ἀπειρόγαμον·
ὧν τί καὶ γένοιτ' ἂν ἐνδοξότερον, καὶ
περι-

vt Propheta ait, clamabant cæleſtium myſtæ, neceſſariò nunc nobis inquirendum: ſi repetas igitur, ſtudioſe auditor, quod hiſtoriæ adiungitur, cauſam nimirũ huiuſce rei inuenies. Auditu *enim, inquit,* audietis, & non intelligetis: & videntes videbitis, & non perſpicietis. *Poſtquam enim veſani Iudæorum filij prodigia glorioſa,* quæ Deus ponebat ſuper terram, *ſicut Dauid cecinerat, conſpexiſſet; vidiſſent etiam ſignum ex profundo atque ex ſublimi ſimul concurrens inconfuſũ prorſus atque indiuiſum, quemadmodum etiam Eſaias prædixerat; nempe matrẽ ſupra naturam, & fœtum ſupra omnem rationem; matrem terreſtrem, & filium cæleſtem; nouã inquam Dei humanitatem, puerperiumque nuptiarum expers (quibus quid fieri poſſit glorioſius? quid erga* Eſai. 6. 9. Act. 28. 26. Pſal. 45. 9. Eſai. 7. 11.

I 2 *creatu-*

περιβοητότερον ἀμφὶ τὴν κτίσιν;) Καὶ ταῦτα θεασάμενοι ὡς μὴ θεασάμενοι διετέθησαν, μύσοντες καὶ ὑπνούμενοι πρὸς τὴν αἴνεσιν· διὰ τοῦτο ἐπλήσθη ὁ οἶκος τῆς καυχήσεως αὐτῶν καπνοῦ. Καὶ ἐπείπερ ἤκουσαν καὶ αὖθις πρὸς τῇ θέᾳ τῶν ὑπὲρ θέαν πρεσβύτου δικαιοτάτου, ἀνδρὸς ἀξιοπίστου, ἀνδρὸς ἀξιοζηλώτου, ἀνδρὸς πνευματοφόρου, ἀνδρὸς νομοδιδασκάλου, ἱερωσύνῃ τετιμημένου, προφητείᾳ λελαμπρυσμένου, τῇ τοῦ Χριστοῦ ἐλπίδι τὸ ζῆν παρεκτείναντος, καὶ θανάτου ὀφειλὴν ὑπερτεθεμένου, χορεύοντος, ἀνευφημοῦντος, συμμεταμορφουμένου τῇ θυμηδίᾳ, ὅλου ἐξεστηκότος θεῷ τὴν καλὴν ἔκστασιν

ἠλλοι-

creaturā præſtantius?) Hæc inquam illi quum vidiſſent, perinde ac ſi non vidiſſent, ſe gerebant, eleuantes omnia, ac velut oſcitantes ad debitā illis laudem tribuendā. ac propterea impleta eſt domus exultationis eorū fumo. Ac rurſus quum audiuiſſent atque etiam vidiſſent rem, quàm quæ videri ſoleat, ſuperiorem; Senem iuſtiſſimū, virum fide digniſſimum, virum meritò ſuſpiciendum, ob id quo ferebatur hîc ſtudio; virum S. Spiritu incitatū, virum Legis doctorem, Sacerdotio honoratū, prophetiâ refulgentem, ſpe, quam de Chriſto conceperat, vitæ limites extendētem; mortisque debitum differentē: talem inquam quum vidiſſent exſilientem, bene ominantem, præ animi lætitia in aliam formā tranſmutatum, totum præclara quadam mentis commotione extra ſe ad Deum elatum,

ἠλλοιωμένου εἰς ἄγγελον τὴν καλὴν ἀλλοίωσιν, τῇ ἀμετρίᾳ τῆς χαρᾶς τὰ εὐχαριστήρια ἀναμέλ-
„ ποντος, Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν
„ καὶ δόξαν λαοῦ σου Ἰσραὴλ ἀνακηρύττοντος, ὃ οὐχ εἵλοντο ἀκοῦσαι τὰ ἀκουστὰ, καὶ τοῖς ἐπουρανίοις προσκυνητὰ, διὰ τοῦτο ἐπλήσθη ὁ οἶκος τῆς καυχήσεως αὐτῶν καπνοῦ.

Καπνὸς δὲ ὀργῆς σημεῖον καὶ τεκμή-
„ ριον, ὡς γέγραπται· Ἀνέβη καπνὸς
„ ἐν ὀργῇ αὐτοῦ, καὶ πῦρ ἀπὸ προσώπου
„ αὐτοῦ καταφλεγήσεται. καὶ ἐν ἑτέρῳ·
„ Ἐν ἔθνει ἀπειθεῖ ἐκκαυθήσεται πῦρ.

Ὅπερ δὴ σημαίνων ὁ κύριος ἐν τοῖς σεβασμίοις εὐαγγελίοις ἔλεγε τοῖς
„ Ἰουδαίοις· Ἰδοὺ ἀφίεται ὁ οἶκος
„ ὑμῶν ἔρημος. Πῆ δὲ πέμψας τὰ στρατεύ-

pulcraq́ue conuerſione in Angelũ quempiam tranſlatum, præq́ue immenſitate gaudij, ob tantum beneficium, gratias decantantem, Lumen ad reuelationem gentium, & gloriam plebis tuæ Iſraël *annunciantem; & tamen ne ſic quidem animum inducerent, vt audita, quæq́ue ipſis ſuperis venerationi erant, auſcultarẽt: propterea impleta eſt domus exultationis eorum fumo. Fumus autem iræ ſignum atque argumentum; ſicut ſcriptũ eſt:* Aſcendit fumus in ira eius, & ignis à facie eius exardeſcet. *& alibi:* In gẽte incredibili exardeſcet ignis. *Quod etiam ſignificans Dominus in venerandis Euangeliis, dicebat Iudæis:* Ecce relinquitur domus veſtra deſerta. *Præterea:*

Luc. 2. 32. *Fumus.* *Pſal. 17. 9.* *Eccli. 16. 7* *Matth. 23. 38.*

στρατεύματα αὐτοῦ ὁ βασιλεὺς ἀπώλεσε τοὺς φονεῖς ἐκείνους, καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησεν ἐν πυρί. Ταῦτα τῆς Ἰουδαϊκῆς ἀπειθείας πρὸς τὴν τριαδικὴν δοξολογίαν ἐναντιώτατα τὰ ἔπαθλα. Ἐπεὶ γὰρ ἡγιάσθη τὰ πέρατα τῆς ὑπ' οὐρανόν, καὶ τῆς δόξης κυρίου πλήρης γέγονεν ὁ μέγιστος οἶκος τῆς ἐκκλησίας διὰ τοῦ τρισαγίου κηρύγματος, ὡς ὕδωρ πολὺ κατακαλύπτον θαλάσσας, ἀπέβη μὲν αὐτοῖς τὰ ᾀδόμενα, συνεβεβαιώθη δὲ τῷ τέλει καὶ ἡ τῆς προφητείας ἀρχή, ἐπισημειωσαμένου (καθάπερ λέλεκται) διὰ τοῦ πνεύματος τοῦ κήρυκος τῆς ἀληθείας ἐν ὑποδείγματι τὴν μέλλουσαν κακίστην τούτων καταστροφὴν

ἐν οἷς

mittens exercitus ſuos Rex, perdidit homicidas iſtos, & ciuitatem eorum ſuccendit igni. Atque huiuſmodi quidem ſunt Iudaicæ infidelitatis, quâ gloriam Trinitati debitam deferre recuſant, aduerſiſſima præmia. Poſtquam enim ſanctificati ſunt termini terræ; & gloriæ Domini plena reddita fuit maxima Eccleſiæ domus è ter-ſancto præconio, tamquam aqua multa cooperiens maria: euenerunt quidem ipſis, quæ antea fuerant prænunciata; prophetiæ autem principium antè ſignificatæ ipſo rerum euentu, vt diximus, eſt confirmatum: veritatis præcone per ſpiritum, velut digito, teterrimam, quæ ipſis futura erat, ſubuerſionem demonſtrante, Matth. 22. 7.

„ ἐν οἷς φησι· Τοῦ ἐνιαυτοῦ οὗ ἀπέθανεν
„ Ὀζίας ὁ βασιλεὺς εἶδον τὸν κύριον.
Ὡς τοῦ ἀποστάτου Ὀζίου εἰς παράδειγμα παντὸς τοῦ ἀποσταλικοῦ σώματος, οἷά τε κεφαλὴ τούτου τυγχάνοντος, ἐκλαμβανομένου. ὃς καὶ δίκην τίσας τῆς αὐθαδίας ἰσόρροπον, ἐσκολαπτὸν ὡς χαλκῷ αὐδειαύτι τῷ μετώπῳ ἀπηνέγκατο τὴν θείαν ἀπόφασιν, βδελυρίᾳ λέπρας τῆς βδελυρωτάτης ἀσεβείας τὰς ἀμοιβὰς πᾶσιν ἐπιδεικνύμενος. Θεοσόφως τοιγαροῦν τῇ παρεξαγωγῇ τῆς ἀχαρίστου συναγωγῆς τὴν ἀντεισαγωγὴν ἐποιήσατο τῆς εὐχαρίστου χήρας Ἄννης ὁ τῶν τελεσθέντων προγνώστης. ἧς καὶ τὸ ὄνομα προδηλωτικὸν τῆς κατὰ χάριν Χριστοῦ τοῦ θεοῦ δεδη-

vbi ait: Anno quo mortuus eſt Oz ias Rex, vidi Dominum. *Ozias quippe apoſtata velut in exemplar totius apoſtatici corporis, & tamquam pro capite eius accipitur. qui etiam pœnam debitam ſuæ temeritatis luens, in fronte, tamquam in æneâ quapiam ſtatuâ, inſculptam diuinæ vltionis potentiam, lepræque fœditate fœdiſſimæ impietatis retributionẽ omnibus oſtendit. Sapienter autem ac planè diuinitus ille eorum, quæ iam perfecta ſunt, præſcius, ingratæ ſynagogæ eiectioni, gratæ illius viduæ Annæ inductionem oppoſuit. cuius etiam nomen Eccleſiam nunc in baptiſmo ſecundùm Chriſti Dei gratiam*

Eſai. 6. 1.

Ozias.

2. Paralip. 26. 19.

δεδικαιωμένης ἐκκλησίας ἐν τῷ βαπτίσματι. Ἄννα γὰρ χάρις ἑρμηνεύεται. Ἀλλ᾽ αὐτοῦ που τοῖς προσόρμοις καταπαύσωμεν τὴν σταυροφόρον ὁλκάδα, τοῦ λόγου διὰ τὸ σύμμετρον τὰ ἱστία χαλάσαντες, καὶ μικρά τινα ὡς οἷόντε χαιρετίσαντες τὴν πόλιν τοῦ βασιλέως τοῦ μεγάλου ἅμα τῷ ἐκκλησιαστικῷ λαῷ, ὡς τῷ πνεύματι συμπαρόντες, καὶ συνεορτάζοντες τοῖς ἐκεῖσε τιμιωτάτοις πατράσι καὶ ἀδελφοῖς. Χαίροις ἡ πόλις τοῦ μεγάλου βασιλέως, ἐν ᾗ τῆς σωτηρίας ἡμῶν ἐτελεσιουργήθη μυστήρια. Χαίροις ὁ ἐπίγειος οὐρανὸς, Σιὼν πόλις
» πιστὴ τοῦ λοιποῦ τῷ κυρίῳ. Χαίροις
» καὶ φωτίζου Ἱερουσαλήμ· ἥκει γάρ

σου τὸ

tiam iuſtificatam ſignificat. Anna enim Anna.
gratiam ſonat. Ceterùm hîc nauem no-ſtri ſermonis, crucis ſignaculo inſigni-tam, tamquam in portum appellentes, vt modus iam ratioq́ue eius poſtulat, velis contractis quieſcere ſinamus, tan-tùm pauculis verbis lætitiæ, vt par eſt, indicibus, ciuitatem magni illius Regis, ſimul cum Eccleſiaſtico popu-lo, cumq́ue præſtantiſſimis Patribus ac fratribus illic degentibus, tamquam ſpiritu animoq́ue præſentes, vnà cum ipſis celebremus ſalutemusq́ue. Salue ciuitas magni Regis, in qua ſalutis no- Pſal. 47. 1.
ſtræ perfecta fuere myſteria. Salue ter-reſtre quoddam cælum Sion, ciuitas Eſa. 1. 26.
deinceps fidelis *Domino. Salue atque* illuminare Ieruſalem: venit enim Eſai. 60, 1.
lumen

σου τὸ φῶς τὸ ἀΐδιον, φῶς τὸ ἀέν-
ναον, φῶς τὸ ὑπέρτατον, φῶς τὸ
ἄϋλον, φῶς τὸ ὁμοούσιον τοῦ θεοῦ καὶ
πατρὸς, φῶς τὸ ἐν τῷ πνεύματι, καὶ
ἐν ᾧ ὁ πατὴρ, φῶς τὸ φωτίσαν τοὺς
αἰῶνας, φῶς τὸ φωτίσαν τὰ ὑπερ-
κόσμια καὶ τὰ ἐγκόσμια, Χριστὸς ὁ
ἀληθινὸς ἡμῶν θεός. Χαίροις πόλις
ἁγία, καὶ ἐκλελεγμένη τῷ κυρίῳ·
ἑόρταζε ἐν εὐφροσύνῃ τὰς ἑορτάς
σου, αἳ οὐ μὴ παρέλθωσι διελθεῖν
εἰς παλαίωσιν. Χαίροις πόλις ἡ
„ πανευδαίμων· Ὅτι δεδοξασμένα
„ ἐλαλήθη περὶ σοῦ. Οἱ γὰρ ἱερεῖς σου
„ ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου
„ ἀγαλλιάσει ἀγαλλιάσονται, καὶ οἱ
„ πτωχοί σου χορτασθήσονται ἄρτων.
Χαίροις καὶ εὐφραίνου Ἱερουσαλήμ·

lumen tuum; *lumen ſempiternum; lumen numquam non duraturum; lumen ſupremum; lumen immateriale; lumen eiuſdem cum Deo & Patre eſſentiæ; lumen quod eſt in Spiritu, & in quo eſt Pater; lumen illuminans ſæcula; lumen illuſtrans ea, quæ ſupra mundum & in mundo ſunt, Chriſtus verus Deus noſter. Salue ciuitas ſancta, atque electa Domino: age in lætitia dies feſtos tuos, qui non ſinunt te veteraſcere. Salue ciuitas feliciſſima.* Quàm glorioſa dicta ſunt de te! Sacerdotes *enim* tui induentur iuſtitiam, & Sancti tui exſultatione exſultabunt, *& mendici tui ſaturabuntur panibus. Salue & lætare Jeruſalem: quoniam*

Pſal. 86. 3.

Pſal. 131. 16.

Ibid. 15.

ὅτι ἐβασίλευσε κύριος ἐν μέσῳ σοῦ, οὗτος κύριος ὁ γυμνῇ καὶ ἀΰλῳ τῇ θεότητι ἐπιβὰς τῇ ἡμετέρᾳ φύσει, καὶ ἐκ τῆς παρθενικῆς νηδύος ἀφράστως σαρκωθείς, οὗτος κύριος ὁ μηδενὸς ἑτέρου ἐν μεθέξει γενόμενος πλὴν τοῦ φυράματος Ἀδάμ, τοῦ ὑπὸ τοῦ ὄφεως σκελισθέντος. Οὐ γὰρ ἀγγέλων ἐπιλαμβανόμενος ὁ κύριος, τῶν μὴ ἀποπεπτωκότων τῆς ἐξ ἀρχῆθεν ἀποκληρωθείσης αὐτοῖς ἀοιδίμου τάξεως καὶ καταστάσεως, συγκατάβασιν ἐνεδείξατο ὁ ἀεὶ ἐν τῷ πατρὶ ὢν θεὸς λόγος, οὐδὲ τοὺς ἀποπεπτωκότας τοῦ φωτὸς ἀλάστορας δαίμονας ἀνακαλούμενος, ἢ καὶ ἀνακαλεσόμενος, κατὰ τοὺς ἀσεβεστάτους τοῦ

πονηροῦ

*quoniam regnauit Dominus in medio tui; Dominus inquam ille, qui nuda atque immateriali diuinitate naturam noſtram ingreſſus, ex virginali vtero ineffabiliter carnē induit: ille Dominus, qui ex nullius præterea rei cõmunicatione homo factus eſt, quàm ex miſtura illa Adami, à ſerpente ſupplantati. Neque enim Angelos apprehendens Dominus, eos inquam Angelos, qui celeberrimum ordinem ſtatumq́ue ipſis ab initio adſignatum minimè deſeruerant, ſuam ad nos vſque demiſſionem obiuit ille ſemper in Deo Patre exiſtens Deus-Verbum: neque rurſus eos, qui luce deciderant, ſceleratos dæmones reſtaurans (aut etiam, *ſecundùm quoſdam impiiſſimos* Eſai. 12. 6.

*Origeniſtas notat, qui diaboli cõdemnationis finē ſtatuunt.

K *teter-*

πονηροῦ συνηγόρους, τῷ κόσμῳ ἐπεφοίτησεν, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαβόμενος κατὰ τὸν θειότατον Παῦλον, καὶ δι᾽ αὐτοῦ παντὸς τοῦ ἀνθρωπείου φύλου, ἄνθρωπος ἀμεταβλήτως γέγονεν ὁ δημιουργὸς καὶ πλαστουργὸς τῶν ἁπάντων· ὅπως διὰ τῆς αὐτοῦ πρὸς ἡμᾶς κοινωνίας, καὶ ἡμῶν πρὸς αὐτὸν συναφείας ὑπολωφήσῃ τῆς ἐν ἡμῖν ἁμαρτίας ἡ εἴσδυσις, ἐξαχνήσασα κατὰ βραχὺ, καὶ ἐκδαπανηθεῖσα ὡς κηρὸς τῷ θείῳ πυρὶ, ὃ ἐλθὼν ὁ σωτὴρ ἔβαλεν ἐπὶ τὴν γῆν ἡμῶν. Χαίροις τοίνυν καὶ σὺ ἐκκλησία καθολικὴ ἡ ἐν πάσῃ τῇ ὑπ᾽ οὐρανὸν, σκίρτησον σὺν ἡμῖν.
„ Μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον τὰς

τρικυ-

*teterrimi diaboli patronos, reſtauratu-rus aliquando) in mundum venit: ſed ſemen Abrahæ apprehendens, iuxta diuiniſſimum *Paulum, ac per id etiam vniuerſum genus humanum, homo in-commutabiliter factus eſt, fabricator & plaſtes vniuerſorum: vt ex ipſius nobiſcum communicatione, noſtraque viciſſim ad ipſum acceſſione, peccatum, quod in nos intrauerat, ſiſteretur, penè diſſolutum conſumtumque, ceræ inſtar, à diuino illo igne, *quem veniens Ser-uator miſit in terram noſtram. Salue porrò & tu Eccleſia Catholica, quæ in toto es terrarum orbe, & vnà nobiſ-cum exſulta.* Ne timeas grex puſille

Heb. 2:16.

Luc. 12.49

Luc. 12.32

 maxi-

» τρικυμίας τοῦ ἐχθροῦ· ὅτι εὐδόκησεν
» ὁ πατὴρ δοῦναί σοι τὴν βασιλείαν,
» καὶ ἐπὶ τραχήλου τῶν ἐχθρῶν σου ἐπι-
βῆναι. Χαῖρε καὶ εὐφραίνου ἡ πάλαι
στεῖρα καὶ ἄγονος πρὸς εὐσέβειαν,
νυνὶ δὲ πολλὰ τὰ τῆς πίστεως ἔχουσα
» τέκνα. Χαίροις καὶ σὺ λαὸς τοῦ θεοῦ,
» λαὸς περιούσιος, βασίλειον ἱεράτευμα,
» ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν.
ἐξάγγελλε τὰς ἀρετὰς
τοῦ ἐκ σκότους σε καλέσαντος εἰς
τὸ θαυμαστὸν αὐτοῦ φῶς· ὑπὲρ
ἐλέους δὲ δόξαζε αὐτόν. Χαίροις
εἰς ἀεὶ ἡ ἀληθῶς ἡμῶν χαρά. (ἐπὶ
σὲ γὰρ πάλιν ἀνατρέχομεν) Σὺ τῆς
ἑορτῆς ἡμῶν ἀρχὴ, σὺ μεσότης, σὺ
For. τέλος. *τέλειος, ὁ πολύτιμος μαργα-
ρίτης τῆς βασιλείας, τὸ ὄντως οὐθαρ

πάσης

maximas inimici tempeſtates: quia cõplacuit Patri dare tibi regnum; *& te ſuper collum hoſtium tuorum ambulare. Salue & lætare quondam ſterilis & abſque liberis ad pietatem; nunc verò multos fidei liberos habens. Salue tu quoque Dei popule;* popule accepte, regale ſacerdotium, gens ſancta, populе in acquiſitionem. *enuncia virtutes eius, qui te vocauit ex tenebris in admirabile ſuum lumen: ſuper miſericordiâ autem ſuâ glorifica eum. Salue in æternum indeſinens noſtra lætitia, Dei genitrix virgo: ad te enim rurſus accurrimus. Tu feſti noſtri principium, tu medium, tu finis, pretioſiſſima regni margarita: tu verè omnis*

Eſai. 54. 1.

1. Pet. 2. 9.

πάσης ἁγιστείας, τὸ ἔμψυχον θυσιαστήριον τοῦ ἄρτου τῆς ζωῆς. Χαίροις ἀγάπης θεοῦ θησαυρέ· χαίροις φιλανθρωπίας υἱοῦ πηγή· χαίροις πνεύματος ἁγίου κατάσκιον ὄρος. Ἤστραψας γλυκύδωρε γεννήτωρ φωτὸς ἡλιακοῦ πυρσοῖς ἀκαρτερήτοις ἀγάπης ὑπερζεούσης, τὸ πρὸ ἀρχῆς συλληφθὲν ἐν τῷ τέλει τεκοῦσα, φανερώσασα τὸ κρυπτὸν μυστήριον καὶ ἀλάλητον, τὸν ἀοράτου πατρὸς υἱὸν, εἰρήνης βραβευτὴν, πάσης γενόμενον ἥττονα βραχύτητος παραδόξως. Διὰ τοῦτο ἐκλιπαροῦμέν σε τὴν ἀμείνω πάντων, καὶ μητρῴαις ἐπαυχοῦσαν τιμαῖς καὶ παῤῥησίαις, μνήμην ἀδιάλειπτον ἡμῶν ποιοῦ παναγία θεοτόκε τῶν

εἰς σὲ

ſacrificij pinguedo, tu animatum panis iſtius vitæ altare. Salue amoris Dei Patris theſaure; ſalue Filij ergà genus humanũ fons propenſionis; ſalue ſancti Spiritus mons inumbrate. Fulguraſti, ô genitrix, ſuauia nobis dona producens; fulguraſti luminis ſolaris ardentiſſimis facibus, feruentiſſimæ nempe dilectionis æſtu; quod ante principium conceptum fuerat, in fine pariens: palàm faciens occultatum eatenus ſacramentum; ineffabilem inuiſibilis Patris Filium, pacis ſequeſtrum, & admirabili quodam modo omni breuitate minorem factum. Propterea te deprecamur præſtantiſſimam omnium, matriſque honore liberè gloriantem, memoriam indeſinentem noſtri retine, ſanctiſſima Dei genitrix;

εἰς σὲ κατακαλλυνομένων, καὶ ὕμνοις θεοπρεπέσι γεραιρόντων σοῦ τὴν ἀείζωον καὶ ἀνεξάλειπτον μνήμην. Καὶ σὺ δὲ αὐτὸς ὦ πρεσβύτα τίμιε Συμεὼν, τῆς εὐσεβοῦς ἡμῶν θρησκείας προδοχεῦ, καὶ τῆς τῶν πιστῶν ἀναστάσεως ἐξηγητὰ, συμπρεσβευτὴς ἡμῶν γενοῦ πρὸς τὸν σωτῆρα θεὸν, ὃν ἀγκάλαις ὑποδέξασθαι κατηξιώθης. Συνᾴδομεν γάρ σοι καὶ ἡμεῖς Χριστῷ τῷ τῆς ζωῆς καὶ θανάτου ἐξουσιαστῇ, Σὺ εἶ φῶς, λέγοντες, ἀληθινὸν ἐκ φωτὸς ἀληθινοῦ, θεὸς ἀληθινὸς ἐκ θεοῦ ἀληθινοῦ· εἷς κύριος πρὸ τῆς ἐνανθρωπήσεως, καὶ μετὰ τὴν πανύμνητον ἐνανθρώπησιν, ἐξ ἑαυτοῦ μὲν καὶ οὐ κατὰ χάριν θεὸς, δι' ἡμᾶς

δὲ καὶ

noſtri, inquam, qui in te ornamur; hymniſque diuinis memoriam tui nullo tempore deſituram, ſed perpetuò victuram, celebramus. Tu etiam ſenex honorate Symeon, piæ noſtræ religionis primè ſuſceptor, reſurrectionisque fidelium enarrator, intercede pro nobis apud Deum & ſeruatorem, quem vlnis tuis excipere dignus fuiſti. Concinimus enim vnà tecum & nos Chriſto, vitæ ac mortis poteſtatem habenti, dicentes: Tu lumen es verum, ex lumine vero; Deus verus, ex Deo vero: vnus Dominus, ante humanitatem aſſumtam; & poſt eam, omni prædicatione proſequendam, idem Dominus: ex te ipſo, & non ſecundùm gratiam Deus; propter nos

Fortè καὶ. ὁ δὲ τέλειος ἄνθρωπος· ἐξ ἑαυτοῦ *ὁ φύσει ἀβασίλευτος παμβασιλεὺς,
Fortè δὲ. δι᾽ ἡμᾶς *καὶ τὴν ἡμετέραν σωτηρίαν καὶ ἐν δούλου μορφῇ ἀχράντως ἀμιάντως. ἀφθαρσία γὰρ ὢν, λῦσαι φθορὰν περιῆλθες, ἵνα ἄφθαρτα πάντα τεύχοις. Ὅτι σοῦ ἐστιν ἡ δόξα καὶ τὸ κράτος, μεγαλωσύνη τε καὶ μεγαλοπρέπεια σὺν πατρὶ καὶ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ

autem etiam perfectus homo: ex te ipſo quidem omnium Rex, ſuperiorem te Regem non agnoſcens; propter nos verò & propter noſtram ſalutem etiam in ſerui forma; immaculatè tamen atque impollutè exiſtens. quum enim ipſa ſis incorruptibilitas, veniſti ſoluere corruptionem; vt incorrupta omnia redderes. Quoniam tua eſt gloria, & poteſtas, magnificentia, & maieſtas, cum Patre & ſancto Spiritu, in ſecula ſeculorum. Amen.

SAN-

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΑΘΑΝΑΣΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΑΡΑΣΚΕΥΗΝ.

ΜΕΓΑ μὲν οὐρανὸς δημιούργημα, καὶ τῆς ὁρωμένης κτίσεως πρῶτον ὑπὸ τοῦ θεοῦ εἰς τὸ εἶναι καλούμενος. μέγα δέ τι καὶ θαυμαστὸν τῶν ἀγγέλων ἡ φύσις, ἀοράτοις ἐστεφανωμένη τοῖς κάλλεσιν. ἁμιλλᾶται τοῖς εἰρημένοις καὶ ἥλιος, τὰς ἡμερινὰς τοῦ φωτὸς λαμπάδας περιβαλλόμενος

μενος

SANCTI PATRIS NOSTRI

ATHANASII ARCHIEPISCOPI ALEXANDRIAE IN S. PARASCEVEN SERMO.

MAGNVM *quidem opificium eſt cælum; ante ceteras creaturas, quæ viſu percipiũtur, à Deo exiſtere iuſsũ. magnum quoq; quiddam atque admirabile Angelorum natura eſt; ornamentis inuiſibilibus coronata. cum his, quæ diximus, ſol contendens, diurnis luminis facibus*

cinctus,

μενος, καὶ τὸν οὐράνιον δρόμον ἐλαύνων. ἐκπλήττει τὴν διάνοιαν ἡ γῆ κρεμαμένη προστάγματι, καὶ τὸ βαρὺ στοιχεῖον τοῖς ὕδασιν ἐποχούμενον. τί δ' ἄν τις εἴποι θάλατταν ἡπλωμένην ὁρῶν, καὶ ψάμμοις ἐνδεδεμένην, πνεύμασι δὲ κυβερνωμένην; Ἀλλὰ πάντα μὲν καλὰ λίαν, καλὰ καὶ τοῦ δημιουργοῦ

For. ἤχυνε. σοφίας τεχνάσματα, *ἴσχυσε δὲ αὐτῆς τὸ κάλλος ὁ ἄνθρωπος, τῇ τῆς τιμῆς ὑπερβολῇ τὴν ὕβριν τοῖς τιμωμένοις γεννήσας. θαῦμα γὰρ τῇ κτίσει προσενέγκας ὑπερβαῖνον τὰ μέτρα τῆς κτίσεως, ἀδοξίαν τοῖς τιμωμένοις κατέχεεν. Οὕτω πλάνης μήτηρ ἄκουσα γέγονεν. Ἀλλ' ᾤκτειρε τὴν πλάνην ὁ

θεὸς,

cinctus, cæleſtemque curſum impellens: terra denique diuino mandato ſuſpenſa; & graue hoc elementum aquis inuectum, meritò mentem in ſtuporem agit. quid autem quis dicat, mare illud expanſum, areniſque illigatum, & ventis gubernatum cernens? Sed cùm hæc omnia pulchra in primis fuerint, præſtantiſſimaq́; Sapientiæ, horũ omnium effectricis, machinamenta; homo tamen hanc eius pulchritudinem deturpauit, immoderatâ venerationis abundantiâ iniuriam iis ipſis, quæ coleret, molitus. quum enim in res conditas admirationem contuliſſet, quæ rerum conditarum modum ſuperaret & excederet, ignominiam iis, quæ coleret, offudit. Ita creatura nolens & inuita, mater erroris fuit effecta. Ceterùm miſertus huius erroris

Deus,

θεὸς, καὶ φέρει σταυρὸν ἐν μέσῳ, θεογνωσίας ἀνθρώποις ὄργανον, τῆς κτίσεως δυνατώτερον· ἄπρακτος γοῦν πρὸς εὐσεβείας γέγονε διόρθωσιν. Καὶ ἥλιος μὲν ἠσχύνετο προσκυνούμενος, κωλύειν δὲ τοὺς προσκυνοῦντας οὐκ ἴσχυσε. Γῆ τὰ τοῦ σώματος φάρμακα βρύουσα ψυχῇ νοσούσῃ βοηθεῖν οὐκ ἠδύνατο. θάλασσα περιττὴ πρὸς τὸ πάθος ἠλέγχετο. Καὶ ἄνθρωπος τυφλώττων περιῆγε τὴν κτίσιν, καὶ τὸ προσπίπτον ψηλαφῶν προσεκύνει, θεὸν εὑρεῖν οὐ δυνάμενος. ὃν ὁ τῆς κτίσεως ὅλης δῆμος κηρύττων πρὸς τὴν ἑνὸς θεοῦ διδασκαλίαν προσαγαγεῖν οὐκ ἐξήρκεσεν. Ἀλλ᾽ ὃ μὴ πεποίηκεν ὁ οὐρανὸς τοῦτο ἴσχυσε σταυρός,

Deus, crucem in medium profert, diuinæ hominibus cognitionis inſtrumentum, creaturâ omni longè potentius: quippe quæ inefficax prorſus erat ad homines ſecundùm pietatis normã corrigendos. Et ſol quidem, hac veneratione ſibi tributâ, pudore afficiebatur: ceterũ venerantes ſe prohibere non valebat. Terra etiam corporis medicamẽta progerminans, animæ ægrotãti opitulari nequibat. mare quoq; impar huic malo tollẽdo conuincebatur. Atque ita homo cæcutiens vniuerſam creaturã circumibat; & in quodcunque velut palpitans inciderat, id venerabatur; Deum ipsũ inuenire minimè potens. quem ipſum quum vniuerſarum rerum conditarum multitudo varietasq; proclamaret; hominem tamen ad vnius ipſius ſcientiã adducere non ſufficiebat. Sed quod cælum ipſum non valebat, hoc

σταυρὸς, καὶ ὃν ἥλιος οὐκ ἐδίδαξε σταυρὸς ἀναλάμψας ἐφωταγώγησε, καὶ ξύλον εὐτελὲς φυτευθὲν οἰκουμένην ἀσεβοῦσαν πρὸς εὐσέβειαν ἐγεώργησε. Ξύλον καταδίκης ὄργανον τοῖς καταδίκοις ἐλευθερίαν ἐκαρποφόρησε πρὸς σωτηρίαν ἀνθρώπων ἡ κτίσις, καὶ σταυρὸς εἰσελθὼν ἰατρὸς ἀνεδείχθη. ἐπειδὴ γὰρ ὁ θάνατος ξύλῳ τὸ παλαιὸν βακτηρίᾳ χρησάμενος τὴν τῶν ἀνθρώπων ῥίζαν ἐπολιόρκησεν, ὁδὸν εὑρὼν εἰς παρείσδυσιν τὴν ἐν βρώσει παράβασιν, ὅτε παρανοιχθείσης οὕτω τῆς ὁδοῦ τῷ θανάτῳ τὰ γένη συνήπτετο, καὶ οἱ κοινωνοὶ τῆς φύσεως ἐγίνοντο κληρονόμοι κολάσεως· οἰκτείρας τοίνυν πλασθέντας

crux nimirum facere potuit; quemque ſol non erudiuit, crux reſplendens illuminauit: & lignum vile ex terra enatum, mundum vniuerſum impietati deditum, ad pietatem velut excoluit. Creatura lignum hoc, condemnationis antea inſtrumentum, poſtea condemnatis liberationis organum ad ſalutem humanã produxit: cruxque adueniens medicina ſalubris manifeſtè apparuit. quoniam enim mors olim ligno tamquam baculo vſa, radicem humanam ſubuerterat: Deus plaſtes ille, figmenti ſui miſertus, viam inueniens, qua tranſgreſſio illa in cibo perpetrata (quando morti feneſtra fuit aperta, ac mortalium genus contabuit, naturæque participes, punitionis hæredes effecti fuere)

θένθας ὁ πλάστης, ξύλῳ ἀντιφάρμακον ξύλου τῇ φύσει χαρίζεται,
καὶ πάθος οἰκονομίας εἰσήνεγκε
Γορ. πάθους *πάθος ἀλεξιφάρμακον, καὶ θανάτῳ κρατοῦντι θανάτον ἀπωλείας
τὸν νενικηκότα κατηγωνίσατο· καὶ
πάλιν ἐλεύθερος ἄνθρωπος, οἷς
ἐδέθη πρὸς θάνατον τούτοις τὴν
Γορ. ἀφθαρσίαν *ἀκαθαρσίαν εὑράμενος· δι' ὧν γὰρ
κατεκρίνετο, διὰ τούτων ἐλύετο. Ὢ
θείας ἀληθῶς σοφίας, καὶ μηχανῆς οὐρανίου. Σταυρὸς ἐπήγνυτο, καὶ
εἰδωλολατρεία καθεφέρετο· σταυρὸς
ἐγείρετο, καὶ διαβολικὴ δυναστεία
κατεδικάζετο· σταυρὸς ἐπήγνυτο, καὶ
Ἰουδαίων ὁ τῦφος πρὸς πτῶσιν μεθίστατο. Ἵνα μάθῃς ὅτι μὴ ξύλον
ἁπλῶς τῶν τοσούτων θαυμάτων
παραί-

reſtauraretur, ligno illi noxio contrarium ligni medicamentum naturæ noſtræ eſt elargitus; & paßionem ex œconomia ſuſceptam, medelam induxit paſſioni, morteque victrici, mortem exitiabilem, hactenus victricem, debellauit. Proinde rurſus in libertatem aſſertus homo, quibus rationibus morti fuerat alligatus, iiſdem immortalitatem inuenit; quibus condemnatus, iiſdem à damnatione ſolutus fuit. O diuinam veramque ſapientiam, cæleſteque crucis inuentum! Crux terræ defixa fuit, & ecce, idolorum cultus ſtatim dilapſus: crux excitata, & diabolica protinus potentia condemnata: crux conſtituta, & Iudæorum faſtus ilicet diſſipatus. Vt diſcas, non lignum ſimpliciter tantorum miraculorum fuiſſe

 cauſam;

παραίτιον, ἀλλ᾽ ὁ τῷ ξύλῳ πρὸς τὴν νίκην χρησάμενος. Οὐ γὰρ καθ᾽ ἑαυτὸ τὸ πάθος σωτήριον, ἀλλ᾽ ὁ διὰ πάθους οἰκονομεῖν τὴν σωτηρίαν βουλόμενος. Σοὶ μὲν γὰρ γίνεται θανάτου λύσις ὁ θάνατος, ἀλλ᾽ ἤμειψε τῶν πραγμάτων τὴν φύσιν ὁ τῇ φύσει τούτων ὅροις πηξάμενος. Σταυρὸς, καὶ πάθος, καὶ λόγχη, καὶ ἧλοι, καὶ θάνατος, ταῦτα ζωῆς καὶ θανάτου γίνεται σπάργανα· τούτοις ὁ δεύτερος ἄνθρωπος εἰς ζωὴν ἀπετέχθη. οἷς ὁ πρῶτος Ἀδὰμ κατεκρίθη, τούτοις ὁ ἔσχατος Ἀδὰμ ἠλευθερώθη. ὑφ᾽ ὧν ἡ ἀρχὴ τῶν ἀνθρώπων κατέπεσεν, ὑπὸ τούτων ἡ ἀπαρχὴ τῶν ἀνθρώπων ἀνύψωται. Σήμερον ὁ δεσπότης καὶ

κύριος

cauſam; ſed eum, qui ligno ad victoriam eſt vſus. Neque enim paſſio per ſe ipſam ſalutaris; ſed is, cui placuit, paſſione interueniente, ſalutem diſpenſare. Tibi quidem, ô homo, mors mortis ſolutio efficitur: ſed rerum naturam is, qui naturæ terminos ſuos fixerat, immutauit. Crux, paſſio, lancea, claui, mors denique; hæc vitæ & mortis fiunt monumenta; his ſecundus homo reformatur in vitam. quibus primus Adam condemnatur, his vltimus Adam liberatur. per quæ principium generis humani ceciderat, ab his primitiæ hominum iterum exaltantur. Hodie herus ac Dominus noſter

κύειος καζάκειτς ἄγεται, καὶ περιάγεται, καὶ Καϊάφας ἀποφαίνεται, καὶ Πιλᾶτος τὴν ψῆφον διαδέχεται. καὶ ὃ παραιτεῖται τὴν κρίσιν ὁ Χειςὸς, ἵνα λύσῃ τὴν τοῦ κόσμου καζάκρισιν. Ὢ παραδόξων θαυμάτων. Δέχεται τὴν τοῦ θανάτου ψῆφον ὁ Χειςὸς, καὶ εὐθὺς Βαρραβᾶς ἀπολύεται. ἐκ προοιμίων ὁ σαυρὸς τοῖς καζαδίκοις ἐλευθερίαν χαείζεται. Μὴ γάρ μοι πρὸς τὴν τῶν Ἰουδαίων *ζωτηρίαν ἀπίδῃς, μηδ' ὅτι εὐεργέτην καζαδικάζοντες προτιμῶσι *τῶν μιαιφόνων, ἀλλ' ὅτι *(περὶ) τῆς καταδίκης ἀρχὴ τῆς τῶν καταδίκων ἐλευθερίας ὑπῆρξεν ἀρχὴ, ὅτι τὴν τῶν καζαδίκων δίκην ἀδίκως δεξάμενος, ὅτι καὶ

For. μοχθηρίαν

Fortè τὸν μιαιφόνον.

Deleam, aut ᾗ legá.

condemnatus, huc illuc trahitur raptaturque. Caiphas fert ſententiam; Pilatus iudicij calculum accipit: nec recuſat condemnari Chriſtus, vt mundi condemnationem aboleat. O res miras, præterque omnem opinionem! Subit mortis ſententiam Chriſtus: & ſtatim Barrabas abſoluitur. in ipſo protinus initio condemnatis crux liberationem largitur. Non enim mihi in Judæorum impotentiam reſpice, nec quòd benefactorem ſuum condemnarunt, maiorem homicidæ rationem habentes: ſed id potiùs intuere, quòd condemnationis ingreſſus, liberationis condemnatorum quidam ingreſſus fuit; quòd reorum pœnam præter meritum Chriſtus ſubiit;

 quodq;

ὅτι ἐστὶ ὡς ζώντων ὁμοῦ καὶ νεκρῶν
ἴσως, ἀναφαίνεται » κριτὴς * ἀναφέρει), καθότι ἔστησεν
» ἡμέραν ἐν ᾗ μέλλει κρίνειν ὁ θεὸς
» τὴν οἰκουμένην ἐν δικαιοσύνῃ ἐν
» ἀνδρὶ ᾧ ὥρισεν ὁ θεὸς, πίστιν πα-
» ρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ
» νεκρῶν. Οἱ μὲν οὖν Ἰουδαῖοι τοὺς
ἄλλους τοῦ θανάτου τρόπους παρε-
θέντες ἐπὶ τὸν σταυρὸν ὥρμησαν,
τιμωρίας ὁμοῦ καὶ ἀτιμίας ἐπι-
νοήσαντες ὄργανον, καὶ τὴν τοῦ
νόμου κατάραν τῷ διὰ ξύλου θα-
νάτῳ προσάπτουσιν, ἐπιφορτίζειν
ἡγούμενοι τοῦ θανάτου τὸ βάρος·
ἠγνόουν δὲ ἄρα τὸν σταυρὸν νίκους
ἐντίμου κατασκευάζοντες σύμβολον.
Καὶ οὐδὲ μέχρι τούτων ἀρκούμενοι
κοινωνοὺς τοῦ θανάτου καὶ λῃστὰς
γενέ-

quodq́ue, tamquam viuorum ſimul & mortuorum iudex, in ſublime fertur: eo *Act. 17. 31.* quòd ſtatuit diem, in quo iudicaturus eſt Deus orbem in iuſtitia, in viro in quo ſtatuit Deus, fidem præbens omnibus, ſuſcitans eum à mortuis. *Iudæi porrò alias mortis ſpecies prætermittentes, ad crucem feſtinarunt; punitionis ſimul atque ignominiæ id inſtrumentum exiſtimantes: Legisq́ue maledictũ morti,* *Gal. 3. 13. Deut. 21. 23.* *quæ in ligno fiebat, accommodant; mortis grauitatem hac ratione magis adhuc onerare ſe arbitrantes: ignorarunt autem, quòd crucem, victoriæ glorioſiſſimæ ſymbolum, adornarent. Quin ne his quidem contenti, participes atque conſortes mortis ipſius etiam latrones*

fieri

γενέσθαι βιάζονται, ἵνα ἡ τοῦ θα-
νάτου κοινωνία τῆς τελευτῆς γένηται
ἀδοξία. Ἠγνόουν δὲ ἄρα λῃστὴν
τῷ Χριστῷ συσταυρώσαντες κήρυκα
τῆς τοῦ ἐσταυρωμένου βασιλείας χει-
» ροτονοῦντες. Κύριε, μνήσθητί μου ὅταν
» ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Ὡς λῃ-
στὴς ἐσταυρώθης, καὶ εὐαγγελιστὴς
ἀνεδείχθης; ὡς βασιλέα τιμᾷς ὃν
» ἀτιμάζειν ἐτάχθης; Μνήσθητί μου
» κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ
» σου. Τί ἔφης ὦ λῃστά; ἀγνοεῖς ἃ
πάσχεις; ἐπελάθου τῶν ἥλων; οὐκ
ᾐσθάνου τῶν ὀδυνῶν; Ὡς ἐν ἱερῷ
προσευχόμενος, οὐχ ὡς ἐπὶ ξύλου
κρεμάμενος οὕτως ἱκετεύεις; Εἶδον
φησὶ ναὸν ἀληθινὸν τοῦ θεοῦ, καὶ ἱκε-
τεύειν ἐπόθησα. ἔγνων ἐκ τῆς ἐπι-

γραφῆς

fieri compellunt: vt mortis huius communicatio finem efficeret turpiorem. Ceterùm fugit eos, quòd quum latronem vnà cum Chriſto cruci figebant, propriis ſuis ſuffragiis præconem regni cruci fixi pronunciarent. Domine, *inquit*, memento mei, quum veneris in regnum tuum. *Tamquam latro cruci fixus es, ô bone; & repentè Euangeliſta euaſiſti? tamquam Regem honoras, quem inhonorare iuſſus fueras?* Memento mei, Domine, quum veneris in regnum tuum. *Quid ais latro? ignoras quæ pateris? oblitus ès clauorum, & non ſentis dolores? Tamquam ſi in templo quopiam orares, non in ligno pendêres, ita ſupplicas? Vidi, inquit, templum Dei verum, & ſupplicare deſideraui. cognoui ex* inſcriptione*

Luc. 23. 42

Ioan. 19. 21.

γραφῆς τὴν ἀξίαν. εἶδον τὴν καταδίκην τὴν βασιλείαν κηρύττουσαν. εἶδον ἐν τῇ κατηγορίᾳ διαδήματος χάριν ἀστράπτουσαν. Εἰ γὰρ σταυρούμενος βασιλεύει, τίς ἂν εἴη στεφανούμενος; Γνωρίζει τὴν βασιλείαν ἡ κτίσις. Ἥλιος σταυρούμενον ὁρᾷ, καὶ φαίνειν οὐ τολμᾷ· ἁρπάζει τῶν σταυρούντων τὸ φῶς, ὑπὲρ δεσπότου μαχόμενος. νυκτὶ παρανόμῳ καταδικάζει τόλμαν Ἰουδαίων παρανόμων. Ἡ γῆ σαλευομένη ταράττεται, καὶ κρεμᾷ σεισμῷ τοὺς ἐπὶ σταυροῦ τὸν δεσπότην κρεμάσαντας. πῶς μὴ πάθω; Βασιλέα τὸν ὑβριζόμενον τίτλος βοᾷ. ἡ κτίσις μαρτύρεται ἅπερ „ ἀναγινώσκω τοῖς γράμμασι· Κύριε μνήσθη-

ptione eius dignitatem. vidi condemnationem, regnum ipſius enunciantem. animaduerti in accuſatione gratiã diadematis refulgentem. Si enim dum cruci figitur, iam regnat, qualis futurus eſt iam coronatus? Regnum eius creatura manifeſtat. Sol crucifixum videt, & apparere non audet: eripit cruci figentibus lucem, pro Domino ſuo pugnans, noctéque extraordinaria iniquam Judæorum temeritatem condemnat. Terra agitata turbatur, ſuóque concuſſu Dominum in cruce ſuſpendentes ſuſpendit, quomodo non afficiar? Regem iniuriâ affectum titulus clamat. creatura teſtatur, quæ in literis lego: Domine

memen-

„ μνήσθητί μου ὅταν ἔλθῃς ἐν τῇ βα-
„ σιλείᾳ σου. Ὦ Πέτρου συστρατιῶτα,
τῶν Ἰουδαίων κατήγορε. ὦ λῃστὰ
βασιλείας ἔμπορε. ὦ λῃστὰ παρα-
δείσου φύλαξ. ὦ λῃστὰ τοῦ Ἀδὰμ
περὶ τὴν κτίσιν βεβαιώτερε. ὦ λῃ-
στὰ τοῦ προγόνου περὶ τὸν παράδει-
σον ἀσφαλέστερε. Ἐκεῖνος ἀκαί-
ρως ἐκτείνας τὴν χεῖρα περὶ τὸ
ξύλον θάνατον εἰς τὸν κόσμον εἰσή-
γαγε, σὺ δὲ εὐκαίρως ἐπὶ σταυρὸν
τὰς χεῖρας ἁπλώσας τὸν ἀπολό-
μενον ἀνεκτήσω παράδεισον. Ὦ
λῃστὰ τὸν προγονικὸν κλῆρον ἀπο-
λόμενον διὰ μιᾶς εὐτυχίας ἀνα-
κλησάμενε. ὦ λῃστὰ πρώτης βασι-
λείας ὁμολογίαν καρπωσάμενος.
ὦ λῃστὰ βασιλείας ὁμολογητά.
ὦ λῃ-

memento mei, quum veneris in regnum tuum. *O latro Petri commilito, Iudæorum accuſator! ô latro regni mercator! ô latro paradiſi cuſtos! ô latro Adamo erga creaturam longè firmior! ô latro primogenito illo, quoad paradiſum, longè tutior! Ille enim importunè manum ad lignum extendens, mortem in mundum inuexit: tu verò in cruce opportunè manum expandens, perditum paradiſum recuperaſti. O latro primorum parentum hæreditatem amiſſam vnico, eoque feliciſſimo, *conatu rurſus acquirens! ô latro primus regni profeſſionem aſſequutus! ô latro regni confeſſor, noſter*

* Niſi fortè pro εὐτυχίας legas εὐχῆς, *vna precatione.*

Forte ἡμῶν, μαρτ. nisi fortè legas παιδευτὰ μαρτ. καὶ ζηλ.

ὦ λῃστὰ παιδευτὰ *μαρτύρων ζηλωτά. ὦ λῃστὰ ῥήματι μικρῷ τὸν οὐρανὸν ὑπανοίξας. ὦ λῃστὰ ξένην ἐπῳδὴν πρὸς ξένον θησαυρὸν μηχανησάμενε. ὦ λῃστὰ πάρεργον σταυροῦ τὸν οὐρανὸν ποιησάμενε. ὦ λῃστὰ δικαιοσύνης συνήγορε. ὦ λῃστὰ νομίμου λῃστείας τοῖς ἀνθρώποις διδάσκαλε. ὦ λῃστὰ λῃστείαν ἐπαινουμένην διδάξας. ὦ λῃστὰ διδάξας ἀνθρώπους πῶς βασιλεία λῃστεύεται. ὦ λῃστὰ ποθουμένην τῷ κλεπτομένῳ κλοπὴν ὑφηγούμενε. ὦ λῃστὰ μεγάλους λῃστείας μισθοὺς συγγραψάμενε. ὦ λῃστὰ μέγα δείξας τὸ τῆς ὁμολογίας γεώργιον. ὦ λῃστὰ βραδὺς πιστεύσας, καὶ ταχὺς ὁμολογήσας, ἔσχατος ἐλθὼν, καὶ πρῶ-

inſtitutor, martyrum imitator! ô latro verbo puſillo cælum aperiens! ô latro mirum incantamentum ad theſaurum hunc mirum tibi conciliandum excogitans! ô latro crucis velut corollarium tibi cælum efficiens! ô latro iuſtitiæ patronus! ô latro liciti legitimiq́ue latrocinij hominibus præceptor, ad latrocinium vſque adeò laudabile nobis viam præiens! ô latro homines quomodo regnum quaſi furto auferant inſtruens! ô latro furti, cui ſit, maximè grati deſiderabiliſq́ue rationes edocens! ô latro ingentes tibi furti mercedes concilians! ô latro præſtantem confeſſionis fructum oſtendens! ô latro tardè credens, ſed celeriter confitens; poſtremus veniens, ſed

ϗ πρῶτος σεφθείς. ὦ ληστὰ δείξας πίστεως ὀξυτάτην ἐνέργειαν. ὦ ληστὰ δείξας πίστεως ὠδῖνας χρόνου μὴ δεομένας εἰς τόκον. ὦ ληστὰ πικρὲ τοῦ Ἰούδα κατήγορε. ὦ ληστὰ τῷ προδότῃ φανεὶς τῆς ἀγχόνης βαρύτερος. ὦ ληστὰ ὁ τὴν τοῦ Ἰούδα προδοσίαν καὶ τοῦ διαβόλου μιμησάμενε. ὦ ληστὰ τῇ ἐκείνου τέχνῃ θαυμαστῶς κατ' ἐκείνου χρησάμενε. ὦ ληστὰ δικαίως τὸν Χριστὸν ἀγοράσας, ϗ μάρτυρα τῆς *κτίσεως τὸν σταυρὸν ἐπαγόμενε. ὦ Πέτρου συνεραπῶτα, καὶ τῶν ἀποστόλων συμμύστα. Διεδέξατο γὰρ τὸν σταυρὸν ὁ τάφος νεκροῦ πεῖραν οὐκ ἔχων. ὦ τάφος ἀθανασίας χωρίον. Ὦ τάφος ἀναστάσεως ἐργαστήριον. ὦ τάφος

*ἴσως, κτήσεως

primus coronatus! ô latro præſentiſſimam fidei efficaciam virtutemque demonſtrans! ô latro fidei parturitionem non egere tempore ad partum, manifeſtans! ô latro vehemens Judæ accuſator! ô latro proditori ſuo ipſius laqueo viſus grauior! ô latro Judæ quidem proditionem, ſed contra diabolum imitatus! ô latro diaboli arte contra diabolum mirabiliter vſus! ô latro iuſtè Chriſtum coëmens, ſponſoremque ac teſtem huius tuæ velut poſſeſſionis crucem inducens. ô Petri inquam commilito, & Apoſtolorum ſymmyſta! Ceterùm cruci ſepulcrum ſucceſſit, quod mortui nondum experimentum habuerat. O ſepulcrum immortalitatis ſedes! ô ſepulcrum reſurrectionis officina! ô

τάφος τῶν τάφων κατάλυσις. ὦ τάφος ἐν ᾧ θάνατος τοῦ εἶναι θάνατος παύεται. ὦ τάφος ἐν ᾧ ζωὴ φύεται πέρας οὐκ ἔχουσα. Καλῶς ὁ τάφος καινός. τοῦτο τῆς χάριτος βούλημα. Ἵνα γὰρ μὴ τῶν νεκρῶν τὸ πλῆθος ἀμφίβολον δείξῃ τὸν ἀναστάντα, καὶ πάλιν Ἰουδαῖος λάβῃ τῆς συκοφαντίας τὰς ὕλας, γυμνὸς ὁρᾶται τῶν κειμένων ὁ τάφος, γλῶτταν Ἰουδαϊκὴν ἀποπλίζων, μονονουχὶ τοιαῦτα πρὸς τὸν Ἰουδαῖον ἀποφθεγγόμενος· Τί λέγεις ὦ συκοφάντα; νεκρὸν ἕτερον οὐχ ὁρᾷς; οὐκοῦν τῷ ἀνισταμένῳ προσκύνησον. θέασαι αὐτὸν ἐγηγερμένον, καὶ τὴν δεσποτείαν ἐπίγνωθι. ὃν νεκρόν μοι παρέδω-

ſepulcrum ſepulcrorum diſſolutio! ô ſepulcrum, in quo mors eſſe mors deſinit! ô ſepulcrum, in quo vita gignitur finem non habens! Rectè verò ſepulcrum nouum erat. nempe fuit hoc diuinæ gratiæ conſilium. Ne enim mortuorum multitudo ambiguum redderet reſurgentem; & Iudæus rurſus calumniandi materiam arriperet; vacuum ſepultis ſepulcrum conſpicitur, Iudaicæ linguæ procacitatem exarmans; ac tantùm non ad Iudæos hæc verba proloquens: Quid ais calũniator? mortuum alium non vides; reſurgentem igitur venerare: intuere ipſum reſuſcitatum; eiusque dominandi vim cognoſce. quem mortuum mihi

κας ἀθάνατον ἀνύποδίδωμι. Ἀλλ'
For. ἀρκεῖ-ται
οὐκ *ἀρκεῖ τοσούτοις Ἰουδαῖος, ἐπισυνάπτει δὲ τὰς σφραγῖδας τῷ τάφῳ. ἄθλιε καὶ πανάθλιε, ὁ τοῦ θανάτου τὰς ὀδύνας λύων τὰς σφραγῖδας οὐ λύει; ὁ σκυλεύων τὸν ᾅδην, σήμανδρα φοβεῖται; Σφράγιζε τὸν τάφον, ἐπισημαίνου τὸν λίθον, στρατιώτας ἐπίστησον, πολιόρκει τὰ μνήματα. μεῖζόν μου ποιεῖς τὸ κατόρθωμα, θεατὰς τῆς ἀναστάσεως εὐτρεπίζεις, μάρτυρας τῆς ἐγέρσεως φέρεις, κήρυκας τῶν ἐμῶν θαυμάτων τοὺς σοὺς ὑπηρέτας κατασκευάζεις. Ἴδωμεν τέως δωροφοροῦντα τὸν Ἰωσὴφ, καὶ τὸν Νικόδημον συντρέχοντα, σινδόνι καθαρᾷ καὶ ὀθονίοις καὶ σουδαρίῳ περι-

commiſeras, immortalem tibi reddo. Verùm non acquieſcit his Iudæus; ſed ſignacula ſepulcro adaptat. miſer! ah prorſus miſer! qui mortis dolores ſoluit, hæc ſignacula ſcilicet non ſoluet? qui infernum ſpoliat, num ſignacula reformidat? Signa ſepulcrum, lapidem nota, milites adſtitue, obſide monumentum: hoc ipſo magis euidentiusque, quod in me factum editur, adſtruis confirmasque; ſpectatores reſurrectionis inſtruis; teſtes à morte reſuſcitationis adducis; præcones miraculorum meorum, miniſtros tuos adornas. Videamus interim Ioſeph munera afferentem, & Nicodemum concurrentem, ſindone munda, pannis & ſudario

περιειλίσσοντας τὸν τοῦ παντὸς κύριον σμύρναν τε καὶ ἀλόην, τὰ τῆς ἀφθαρσίας σύμβολα, προσκομίζοντας. Δεῦρο οὖν ἀδελφοὶ, μείνωμεν τὰς *ὀδύνας τοῦ τάφου· ἴδωμεν κυοφορουμένην ἀνάστασιν. ἴδωμεν γαστέρα τάφου τῆς ἀναστάσεως μητέρα. μείνωμεν ἰδεῖν τὸν Χριστὸν προπαιοῦχον ἐκ τάφου συνεγειρόμενον. τοίνυν φαιδροὶ φαιδρῷ τῷ ἀνισταμένῳ Χριστῷ προσέλθωμεν. Αὐτῷ γὰρ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*ἴσως, ὠδῖνας

ΑΜΦΙ-

Dominum vniuerſi inuoluentes, myrrhamque & aloën, immortalitatis ſymbola, apportantes. Agite fratres, ſepulcri velut parturigines exſpectemus: attendamus ad reſurrectionem adhuc velut in vtero geſtatam. obſeruemus ſepulcri ſinum, reſurrectionis matrem. præſtolemur, quoad Chriſtum, trophæum de hoſtibus ſuis ſtatuentem, intueamur ex ſepulcro iam excitatum: lætique læto Chriſto reſurgenti obuiam eamus. Ipſum enim decet omnis gloria, honor, ac veneratio, cum Patre, & ſancto Spiritu, in ſecula ſeculorum. Amen.

AMPHI-

ΑΜΦΙΛΟΧΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΕΙΚΟΝΙΟΥ

ΕΙΣ ΤΗΝ ΗΜΕΡΑΝ ΤΟΥ ΑΓΙΟΥ ΣΑΒΒΑΤΟΥ.

ΕΠΙΤΑΦΙΟΝ ἑορτὴν τοῦ σωτῆρος ἡμῶν ἑορτάζομεν σήμερον. καὶ ὁ μὲν παρὰ τοῖς νεκροῖς κάτω τοῦ θανάτου τὰ δεσμὰ διαλύων, καὶ φωτὸς τὸν ᾅδην πληρῶν, καὶ ἀφυπνίζων τοὺς κεκοιμημένους· ἡμεῖς δὲ χορεύομεν ὑπὲρ γῆν, τὴν ἀνάστασιν φανταζόμενοι, καὶ οὐ δεδοίκαμεν τὴν φθορὰν μὴ καταισχύνῃ τῆς ἀφθαρσίας.

AMPHILOCHII EPISCOPI ICONII IN DIEM S. SABBATI SERMO.

SEPVLCRALE *feſtum Seruatoris noſtri hodie frequentamus. & ipſe quidē apud inferos mortis vincula diſſoluit; luce ſua infernum implet, & dormientes à ſomno excitat: nos verò læti exſultamus ſuper terram, reſurrectionem ipſius nobis cogitatione ob oculos ſtatuentes. neque corruptionem iam metuimus; ne ea, quàm incorruptibilitas, plus poſſit.*

„ σίας. Οὐ δώσεις γάρ φησι τὸν ὅσιόν
„ σου ἰδεῖν διαφθοράν. Καὶ ἴσως ἡμῶν
τὴν φιλοσοφίαν γελῶσιν Ἰουδαῖοι
καὶ Ἕλληνες, οἱ μὲν ἕτερον Χρι-
στὸν προσδεχόμενοι, οἱ δὲ τάφοις
ἐναποκλείσαντες αὐτῶν τὰς ἐλ-
πίδας. περὶ ὧν εἰκότως ὁ προφή-
„ της φησίν· Οἱ τάφοι αὐτῶν οἰκίαι
„ αὐτῶν εἰς τὸν αἰῶνα. Ἀλλ' οἱ μὲν
γελῶντες στενάξουσι, (στενάξουσι γὰρ
„ ὕστερον ὁρῶντες εἰς ὃν ἐξεκέντησαν
καὶ ἐνύβρισαν) ἡμεῖς δὲ δακρύοντες
ἡδονῇ τὸ πάθος κεράσωμεν. Ἥρ-
πασεν ὁ θάνατος τὸν δεσπότην
Χριστόν; ἀλλ' οὐ καθέξει παρ' ἑαυ-
τῷ τὴν ζωήν· κατέπιεν ἀγνοήσας,
ἀλλ' ἐξέμεσε πολλοὺς σὺν αὐτῷ.
Ἑκὼν κατέχεται νῦν, μετὰ ταύτην τὴν
ἡμέραν --

poſſit. Non dabis *enim, inquit Scri-* *Pſal.* 15.10
ptura, ſanctum tuum videre cor-
ruptionem. *Et fortaſſis philoſophiam hanc noſtram Iudæi & Græci irrident; illi quidem alium Chriſtum exſpectantes; hi verò ſepulcris ſpes ſuas includentes. de quibus appoſitè Propheta*
ait: Sepulcra eorum, domus ipſo- *Pſal.* 48.12
rum in ſeculum. *Ceterùm iſti nunc irridentes, gement aliquando; gement,*
inquam, aſpicientes in quem con- *Zach.* 12.10
fixerunt, *& iniuriis affecerunt: nos verò lacrymantes, paſſionem hanc lætitiâ temperabimus. Rapuit mors Dominum noſtrum Chriſtum; ſed non retinebit apud ſe vitam: deuorauit ipſum inſcia; ſed euomuit multos cum ipſo. Volens nunc detinetur: ſed craſtino*

die

ἡμέραν σκυλεύσας τὸν ᾅδην ἀνίσταται. Χθὲς ἠμαύρωσε τὸν ἥλιον σταυρωθεὶς, καὶ μεσούσης ἡμέρας ἐπεισῆλθε νὺξ, (σήμερον ὁ θάνατος παραλύεται), ξένον νεκρὸν εἰσδεξάμενος. Χθὲς ἐπένθησεν ἡ κτίσις τὴν τῶν Ἰουδαίων μανίαν ὁρῶσα, καὶ στολὴν πενθικὴν τὸ σκότος ἐνε-
» δύσατο, (σήμερον λαὸς ὁ καθήμε-
» νος ἐν σκότει φῶς εἶδε μέγα. Χθὲς ἐδονήθη ἡ γῆ, καὶ περὶ φυγῆς ἐβουλεύετο, καὶ διαστῆναι τοῖς ἐνοικοῦσιν ἠπείλει. καὶ τὰ μὲν ὄρη ἐκόπτοντο, ἐσχίζοντο δὲ αἱ πέτραι, γυμνὸς δὲ ἦν ὁ ναὸς, καθάπερ ἔμπνους τὸ ἱμάτιον διαῤῥήξας, δι' ὧν ἔπαθε δεικνὺς ὡς ἐβεβηλώθη τὰ ἅγια. Τὰ ἄψυχα τοῦ τολμήματος ᾔσθετο, οἱ δὲ ταῦτα

τολμῶν-

die, ſpoliato inferno, reſurget. Heri cruci fixus ſolem obſcurauit, & die adhuc mediâ nox incubuit: hodie mors vim ſuam amittit, nouum quendam in ſe mortuum ſuſcipiens. Heri rerum fabrica luxit, Iudæorum furorem videns, & mæstitiæ veſtimentum ſibi tenebras induit: hodie populus in tenebris ſedens, vidit lucem magnam. *Heri terra commota, velut de fuga, conſilium iniit; dehiſcere inhabitantibus comminata: montes abſciſſi, petræ fiſſæ, nudum templum conſpectum, quod perinde, ac ſi viuum eſſet, veſtem dirupit; per ea, quæ ſibi accidebant, ſacra contemerata eſſe oſtendens. Et animæ quidem vitæque expertia tantum facinus ſenſerunt: at qui id* Eſai. 9. 2.

N *auſi,*

τολμῶντες ἀναισθήτους εἶχον ψυχάς. ἠγανάκτει τὰ στοιχεῖα, καὶ μικροῦ τὴν τάξιν ἀπέλιπε, καὶ σύγχυσιν εἰργάσατο τοῦ παντὸς, εἰ μὴ τοῦ δημιουργοῦ τῆς βουλήσεως ἤσθετο, ὅτι μὴ ἄκων ὑβρίζετο. Ὢ καινῶν καὶ παραδόξων πραγμάτων. ξύλῳ τανύεται ὁ λόγῳ τείνας τὸν οὐρανὸν, καὶ δεσμοῖς περιβάλλεται ὁ δήσας ψάμμῳ τὴν θάλασσαν, καὶ ποτίζεται χολὴν ὁ τὰς πηγὰς τοῦ μέλιτος χαρισάμενος, καὶ στεφανοῦται ἀκάνθαις ὁ τὴν γῆν στεφανώσας τοῖς ἄνθεσι· καὶ τύπτεται μετὰ καλάμῳ τὴν κεφαλὴν ὁ πατάξας τὴν Αἴγυπτον ταῖς δέκα πληγαῖς, καὶ τὴν κεφαλὴν τοῦ Φαραὼ καλύψας τοῖς ὕδασιν, ἐμπτύεται τὸ πρό-

*auſi, animas omni ſenſu carentes habuerunt. dolebant elementa, & parum aberat, quin ordinem ſtationemq; ſuam deſerentes, confuſionem inducerent vniuerſi; niſi Conditoris voluntatem percepiſſent, videlicet ipſum non inuitum pati. O res nouas atque inopinatas! ligno extenditur, qui verbo cælum tetenderat; vinculis circumdatur, qui mare arenis alligauerat; felle potatur, qui mellis fontes fuerat largitus; ſpinis coronatur, qui terram floribus coronauerat; calamo caput verberatur, qui *Ægyptum decem plagis olim percuſſerat, caputque Pharaonis vndis operuerat; conſpuitur eius* Exod. 7. 9. & deinceps.

 vultus,

τὸ πρόσωπον ὃν ἰδεῖν οὐ φέρει τὰ Χερουβίμ. Ταῦτα δὲ πάσχων, ὑπὲρ τῶν σαυρούντων προσηύχετο λέ-
» γων· Πάτερ ἄφες αὐτοῖς, οὐ γὰρ
» οἴδασι τί ποιοῦσιν. ἀγαθότητι τὴν κακίαν νικᾷ. ἀπολογεῖται ὑπὲρ τῶν Χριστοκτόνων, εἰς σωτηρίαν αὐτοὺς σαγηνεύων. λύει τὸ ἔγκλημα, τὴν ἄγνοιαν αἰτιώμενος. οὐ χαλεπαίνει τῆς ἐκείνων παροινίας γινόμενος παίγνιον. δέχεται τὴν μέθην, καὶ φιλανθρωπίᾳ καλεῖ πρὸς μετάνοιαν. Τί δεῖ λέγειν τὰ πλείω; Οὐδὲν τῆς ἀγαθότητος ἀπονάμενοι ἐγκλείουσι τάφῳ ὃν οὐδὲν τῶν ὄντων χωρεῖ· καὶ σήμανδρα ἐπιτιθέασιν, ἡμῶν τὴν σωτηρίαν φυλάττοντες, καὶ δεδιότες τὴν ἀνάστασιν

σασιν

vultus, quem Cherubim intueri non ſuſtinent. Atque hæc talia quum patiatur, pro ſe cruci figentibus comprecatur, dicens: Pater dimitte illis; non enim ſciunt quid faciunt. *bonitate malitiam vincit. defenſionem inſtituit Chriſtus pro Chriſti homicidis, ſalutem illorum ſtudioſè captans. diluit crimen, ignorantiã cauſatus. non acerbè fert, veſaniæ ipſorum ludibrium factus. tolerat temulentiam, ſuaque in genus humanum propenſione, eoſdem ad reſipiſcendũ vocat: Quid pluribus? Nullo è bonitate ipſius fructu percepto, ſepulcro includunt, quem nulla rerum vniuerſarum, quæ exiſtunt, in ſe continere queat. Signacula apponunt, noſtram liberationem cuſtodientes: & reſurre-* Luc. 23. 34.

στασιν στρατιώτας φύλακας ἐφι-
Fortè εἶδε στῶσι τῷ μνήματι. Τίς *οἶδε νεκρὸν
Fortè εἶδε φυλαττόμενον; μᾶλλον δὲ τίς *οἶδε
νεκρὸν πολεμούμενον; τίς ἤκουσε
τελευτὴν ἀμφιβαλλομένην, καὶ
δέος ἐμποιοῦσαν τοῖς ἐργασαμέ-
νοις; τίς οὐκ ἐπαύσατο πρὸς ἐχθρὸν
τὴν ψυχὴν ἀφειλάμενος; τίς οὐ
κατέλυσεν ἔχθραν ἀρκεσθεὶς θα-
νάτῳ τοῦ δυσμενοῦς; Τί ὃν ἀνήλω-
σας δειλειᾶς ὦ Ἰουδαῖε; τί φοβῇ
ὃν ἀπέκτεινας; τί τρέμεις τὸν με-
ταστάντα; τί δέδοικας τὸν ἀναιρε-
θέντα; τί ὃν ἐσταύρωσας ἀγωνιᾷς;
ἔχεις ἀπὸ τῆς σφαγῆς τὴν ἀσφά-
λειαν. Θάῤῥει, εἰ ψιλὸς ἄνθρωπος
ὁ τεθνηκὼς, οὐκ ἀνίσταται. εἰ ψι-
λὸς ἄνθρωπος, καλῶς ἔπηξας τὸν
σταυρόν.

ctionem metuentes, ad ſepulcrum milites cuſtodes ſtatuunt. Quis vmquam vidit mortuum cuſtoditum? aut potiùs, quis vidit mortuum bello impetitum? quis audiuit vitæ exitum cuipiam inductum, & timore auctores afficientem? quis non de inimico ſolicitus eſſe deſiit, poſtquam animam ipſius abſtulit? quis non inimicitiam diſſoluit, morte aduerſarij ſatiatus? Quid quem de medio ſuſtuliſti, adhuc horres Iudæe? quid metuis quem occidiſti? quid formidas è viuis egreſſum? quid times enectum? quid te diſcruciat quem cruci fixiſti? cædes ipſa tibi ſecuritatem promittit. bono animo eſto; ſi nudus homo, qui mortuus eſt, non vtique reſurgit. ſi nudus homo, rectè in crucem

 egiſti.

σταυρόν. εἰ ψιλὸς ἄνθρωπος, οὐκ
» ἀληθεύει Λύσατε τὸν ναὸν τοῦτον
» εἰπὼν, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ
» αὐτόν. εἰ ψιλὸς ἄνθρωπος, τῷ θανάτῳ κατέχεται. εἰ ψιλὸς ἄνθρωπος, τί τὸν τάφον σφραγίζεις ἀνόητε; περιμένον τὴν τρίτην ἡμέραν, καὶ ὄψει τῆς σεαυτοῦ μανίας τὸν ἔλεγχον. παῦσαι περιεργαζόμενος, καὶ θεάσαι τῶν πραγμάτων τὴν ἔκβασιν. παῦσαι λυττῶν κατὰ τῆς ἀληθείας. παῦσαι θεῷ πολεμῶν, καὶ τῷ πολεμεῖν κατατιτρώσκων σαυτόν. παῦσαι τὸν ἥλιον τῆς δικαιοσύνης ὑβρίζων, καὶ νομίζων τὰς ἀκτῖνας ἐκείνας σβεννύειν. παῦσαι τὴν πηγὴν τῆς ζωῆς προσχῶσαι φιλονεικῶν. παῦσαι τοῖς

ἀρχου-

egiſti. ſi nudus homo, non verum præſtat quod dixit: Soluite templum hoc, & in tribus diebus excitabo illud. *ſi nudus homo, morte detinetur. ſi nudus homo, quid ſtulte ſepulcrum conſignas? exſpecta diem tertium, & videbis inſaniæ tuæ confutationem. deſine fruſtra laborare, & videbis rerum euentum. deſine contra veritatem furere. deſine Deo bellum inferre, inferensque te ipſum vulnerare. deſine ſolem iuſtitiæ iniuriis afficere, exiſtimans te eius radios exſtinguere. deſine, inquam; nec fontem vitæ obſtruere contendas. deſine præ-* Ioan. 2. 19.

ἄρχουσιν ἐνοχλῶν, καὶ περὶ φρουρᾶς διαλεγόμενος. παῦσαι τὸ ψεῦδος ὠνούμενος, καὶ σοὺς ὁπλίτας κινῶν. μὴ κάμῃς ἀνόνητα, μὴ εἰς ἀσέβειαν ἀναλώσῃς τὰ σὰ, μὴ κατὰ θεοῦ φαντάζου τὴν νίκην· μὴ δῷς μισθὸν στρατιώταις ἕτερα ἀνθ' ἑτέρων εἰπεῖν, μὴ παρακοιμίσῃς τὸν ὄχλον τῷ μνήματι, μὴ θαῤῥήσῃς τοῖς ὅπλοις. ὅπλοις ἀνάστασις οὐ κωλύεται, οὐκ ἐμποδίζεται ταῖς (σφραγῖσιν, οὐκ εἴργεται) στρατιώταις, οὐ κλέπτεται χρήμασιν, ἀλλὰ πιστεύεται. Μὴ οὐκ εἶδες τὸν Λάζαρον πάλαι καθάπερ ὕπνον τὸν θάνατον ἀποσεισάμενον; εἶδες πῶς σὺν αὐταῖς κειρίαις ἐβάδιζε τὸ δεῦρο ἀκούσας. εἶδες πῶς ἠκολούθησε τῷ

προσάγ-

fectos fatigare. deſine de cuſtodia verba facere. deſine mendacium tibi commercari, & armatos commouere. ne fruſtra nitaris: ne ad impietatem impenſam facias: ne contra Deum tibi victoriam fingas: ne militibus, vt alia pro aliis referant, mercedem tribuas: ne turbam ad ſepulcrum excubare facias: ne in armis tuis fiduciam habeas. armis reſurrectio non prohibetur; non impeditur ſignaculis; non coërcetur militibus; non ſurripitur pecuniis, ſed fide obtinetur. Non vidiſti Lazarum nuper mortem inſtar ſomni excutientem? non vidiſti quomodo cum faſciis ipſis gradiebatur, vocem, VENI foras, *Ioan.* 11.43 *ſimul audiuiſſet? non vidiſti quomodo*

mortuus

προστάγματι ὁ νεκρὸς, καὶ ὁ δεσμὸς οὐκ ἐκώλυσεν. εἶδες πῶς ἥρμοσεν ἡ φωνὴ τὸν διαλυθέντα θανάτῳ. Ὁ ἐκεῖνα δυνηθεὶς καὶ ταῦτα δυνήσεται. ὁ τὸν δοῦλον ἀναστήσας αὐτὸς πολλῷ μᾶλλον ἐγείρεται. ὁ ζωογονήσας τὸν δεσπότα οὐκ ἐάσει νεκρὸν ἑαυτόν. Ἀλλὰ γὰρ ἡ τυφλότης τῶν Ἰουδαίων πολλὴ, καὶ ὁρῶσα τὰ θαύματα
» οὐχ ὁρᾷ. Ὀφθαλμοὺς ἔχουσι, καὶ οὐ
» βλέπουσιν· ὦτα ἔχουσι, καὶ οὐκ ἀκού-
» ουσιν. Ὁ *θεὸς γὰρ τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰς καρδίας αὐτῶν πρὸς τὸ μὴ καταυγάσαι αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης. Ἀλλ' ἐκείνους μὲν τέως ἐάσωμεν τῇ ἀπιστίᾳ, ἡμεῖς δὲ λέγωμεν μετὰ τῶν περὶ

*ἴσως, ἄρχων

Μαριὰμ

mortuus vocantis iuſſum fuerit ſequutus; vinculorum nexu minimè ipſum prohibente? non vidiſti quomodo morte iam ſolutum vox reſtaurauit? Qui illa potuit, & hæc poterit. qui ſeruum ſuſcitauit, ipſe multo magis ſuſcitatur. qui in vitam reſtituit iam putrefactum, nequaquam ſe ipſum mortuum ſinet. Ceterùm Judæorum cæcitas immenſa, quæ videns miracula, minimè videt : Oculos *enim* habent, *Pſal.113.5* & non vident; aures habent, & non audiunt. *Princeps enim huius ſeculi corda eorum excæcauit : vt non illuceſcat illis Euangelium iuſtitiæ. Sed miſeros illos deinceps ſuæ incredulitati relinquamus : nos verò cum fideli*

Maria

Μαριὰμ τὴν πιστὴν κατὰ διάνοιαν
ἀναπλάττοντες ἑαυτοῖς τοῦ σωτῆ-
» ρος τὸν τάφον· ἦραν τὸν κύριον
» ἡμῶν, καὶ οὐκ οἴδαμεν τί ἐποίησαν
» αὐτόν. Αὐτῷ ἡ δόξα, σὺν τῷ ἀχράν-
τῳ πατρὶ, καὶ τῷ ἁγίῳ πνεύματι,
νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας.
Ἀμήν.

Maria, in animo nobis Seruatoris noſtri ſepulcrum effingentes, dicamus: Tulerunt Dominum noſtrum, & neſcimus quid eo fecerint. *Ipſi gloria, cum intemerato Patre, & ſancto Spiritu, nunc & ſemper, & in ſecula. Amen.* Ioan. 20. 13

SANCTI

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΟΜΙΛΙΑ ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ.

» ΧΑΙΡΕΤΕ ἐν κυρίῳ
» πάντοτε ἀγαπητοὶ
» ἀδελφοὶ, πάλιν ἐρῶ,
» χαίρετε. Ὁ κύριος
» ἐγγύς. μηδὲν μεριμ-
» νᾶτε. Ὁ κύριος ἐκ νεκρῶν ἐγή-
γερται, καὶ μετ᾽ αὐτοῦ πολὺς ὄχλος
ἁγίων. Ἑορτάσωμεν οὖν ἡδέως τε
καὶ σωφρόνως. Αὕτη γὰρ ἀληθῶς ἡ

ἡμέρα

SANCTI PATRIS NOSTRI

IOANNIS

ARCHIEPISCOPI

CONSTANTINOPOLITANI

CHRYSOSTOMI

HOMILIA IN SANCTVM PASCHA.

GAVDETE in Domino ſemper, *dilecti fratres*; iterum dico, gaudete. Dominus propè eſt. nihil ſolliciti ſitis. *Dominus ex mortuis excitatur, & cum ipſo multa Sanctorum manus. Feſtum igitur hoc lætè modeſteque agamus*. Hæc *enim reuera* eſt Philip.4.4. Pſal. 117. 24.

” ἡμέρα ἣν ἐποίησεν ὁ κύριος· Ἀ-
” γαλλιασώμεθα καὶ εὐφρανθῶμεν
” ἐν αὐτῇ. Κηρύξωμεν τὴν τοῦ Σωτῆ-
ρος ἀνάστασιν, μᾶλλον δὲ τὴν ἡμε-
τέραν βοήσωμεν σωτηρίαν· κηρύ-
ξωμεν τῆς σωτηρίου ἡμέρας τὴν
ὑπόμνησιν, κηρύξωμεν τὴν νέκρω-
σιν τοῦ διαβόλου, τὴν τῶν ἀκαθάρ-
των δαιμόνων αἰχμαλωσίαν, τὴν
τῶν Χριστιανῶν σωτηρίαν, τὴν τῶν
νεκρῶν ἀνάστασιν. Διὰ γὰρ τῆς ἀνα-
στάσεως τοῦ κυρίου σβέννυται μὲν
γέεννα πυρὸς, σκώληξ δὲ ἀκοίμη-
τος τελευτᾷ, ᾅδης ταράττεται,
πενθεῖ διάβολος, ἁμαρτία νεκροῦ-
ται, πνεύματα πονηρὰ διώκεται, οἱ
ἀπὸ γῆς εἰς οὐρανὸν ἀνατρέχουσιν,
οἱ ἐν τῷ ᾅδῃ ἐλευθεροῦνται τῶν
δεσμῶν

dies quam fecit Dominus; exſultemús & lætemur in ea. *Publicemus Seruatoris reſurrectionem; aut potiùs propriam noſtram proclamemus ſaluationem: palàm ſalutaris huius diei memoriam pronunciemus: interitum diaboli, dæmonum impurorum captiuitatem, Chriſtianorum ſeruationem, mortuorum reſurrectionem diuulgemus. Reſurrectione enim Domini geënnæ ignis extinguitur, vermis numquam dormiens deſinit, infernus turbatur, luget diabolus, peccatum emoritur, ſpiritus mali pelluntur; qui in terrâ, ſurſum in cælum feruntur; qui apud inferos, à vinculis*

δεσμῶν τοῦ διαβόλου, καὶ θεῷ προσ-
» φθέγγοντες λέγουσι τῷ διαβόλῳ· Ποῦ
» σου θάνατε τὸ κέντρον; ποῦ σου ᾅδη
» τὸ νῖκος; Αἴτιος δὲ ἡμῖν τῆς ἁγίας
ταύτης ἑορτῆς τε καὶ πανηγύρεως
Fortè ἡμῖν ὁ Χριστὸς, ὁ καὶ πάντων *ἡμῶν τῶν
καλῶν παρέξενος. Οὗτος μὲν γὰρ
ἡμᾶς ἐξ ἀρχῆς ἐποίησε, καὶ ἐκ τοῦ
μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγεν·
οὗτος καὶ νῦν ἀπολλυμένους ἔσωσε,
νενεκρωμένους ἐζωοποίησεν· οὗτος
Fortè ὑφείλατο καὶ νῦν ἡμᾶς *ἀφείλατο τῆς τυραν-
νίδος τοῦ διαβόλου· οὗτος δούλους
ὄντας ἡμᾶς τῆς ἁμαρτίας ἐλευθέ-
„ ρους ἀπέδειξεν, ἐξαλείψας τὸ
„ καθ' ἡμῶν χειρόγραφον. Χριστὸς
For. γὰρ „ *ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας
„ τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν
κατά-

diaboli liberantur, & ad Deum confugientes dicunt diabolo: Vbi eſt mors 1. Corinth. 15. 55. ſtimulus tuus? vbi eſt inferne victoria tua? *Auctor autem ſancti huius feſti publicique conuentus nobis Chriſtus eſt; qui & ceterorum omnium bonorum nobis conciliator. Ipſe ſiquidem à principio nos fecit; & ex nihilo, vt eſſemus, produxit: ipſe etiam nunc perditos conſeruauit; mortificatos viuificauit: idem nunc diaboli nos tyrannide eripuit: idem nos ſeruos peccati exiſtentes, liberos declarauit;* delens Coloſſ. 2. 14 quod erat aduerſus nos chirographum. Chriſtus nos redemit dé Galat. 3. 13 maledicto Legis, factus pro nobis

» κατάρα. Ἐφ' οἷς ἄξιον ἡμᾶς εἰπεῖν·
» Τί ἀνταποδώσωμεν τῷ κυρίῳ περὶ
» πάντων ὧν ἀνταπέδωκεν ἡμῖν; Θεὸς
ὢν μονογενὴς ἄνθρωπος δι' ἡμᾶς
» γενέσθαι ηὐδόκησε, καὶ γέγονεν
» ὑπήκοος μέχρι θανάτου, ἵνα
ἡμᾶς αἰωνίου θανάτου ῥύσηται.
Δούλου μορφὴν ἐφόρεσεν ὁ τῶν
ἀγγέλων δεσπότης. Σάρκα προσ-
έλαβεν ὁ θεὸς λόγος, καὶ ἄνθρωπος
ἐφαίνετο ὁ σύμμορφος καὶ ὁμούσιος
τῷ πατρί. Καὶ ταῦτα ὑπέμεινεν
ἵνα ἡμᾶς καὶ τῆς ἀδίκου δουλείας
ἐξέληται, καὶ ἀτιμίας λυτρώσηται.
Παθεῖν ἠνέσχετο σαρκὶ ὁ τῆς ζωῆς
ἡμῶν χορηγός. Διὰ τοῦτο καὶ ἐτά-
φη τῆς ἀθανασίας ἡ πηγὴ, ἵνα τοῖς
θνητοῖς ἀΐδιον χαρίσηται ζωήν. Καὶ

παρῆν

maledictum. *Pro quibus, ut dicamus æquum eſt*: Quid retribuemus Domino, pro omnibus quæ retribuit nobis? *Deus quum ſit unigenitus, homo pro nobis fieri voluit;* & factus eſt obediens vſque ad mortẽ, *ut nos à morte perpetua vindicaret. Serui formam geſſit ille Angelorum Dominus. Carnem aſſumſit Deus-Verbum; & homo apparuit, conſimilis figuræ ac ſubſtantiæ cum Patre exiſtens. Atque hæc ſuſtinuit, ut nos ex iniqua aſſereret ſeruitute, ignominiaque liberaret. Cruciatus in carne tolerauit, vitæ nobis auctor. Propterea etiam ſepultus fuit immortalitatis ille fons, vt mortalibus ſempiternam vitam donaret. Et*

Pſal. 115. 12. *Philip. 2. 8.*

παρῆν μὲν ἐπὶ τῆς γῆς, εὐεργετῶν,
καὶ ἰώμενος τὰ τῶν ἀνθρώπων πά-
Fortè ὑ θη, ἀναξίας *ὑπὸ τῶν θεομάχων
Ἰουδαίων ἀπελάμβανεν ἀμοιβάς.
Ὁ μὲν γὰρ κύριος ἡμῶν Ἰησοῦς, ὁ
Χριστὸς διὰ πολλὴν ἀγαθότητα
λεπροὺς ἐκαθάριζε, τυφλοῖς τὸ
βλέπειν ἐχαρίσατο, χωλοὺς ἐθε-
ράπευσε, δαίμονας ἤλαυνε, τὸν
Λάζαρον τετραήμερον ἐκ νεκρῶν
ἤγειρεν, ἐκ πέντε ἄρτων πεντα-
κισχιλίους ἐχόρτασεν, ἐπὶ θαλάσ-
σης περιεπάτησε, τὸ ὕδωρ εἰς οἶνον
μετέβαλε, τὴν αἱμοῤῥοοῦσαν ἰά-
σατο, τὴν θυγατέρα τοῦ ἀρχισυνα-
γώγου θνοῦσαν ἐζωοποίησε, καὶ
ἄλλα πολλὰ μυστήρια θαύματος
ἄξια πεποίηκεν. Ἰουδαῖοι δὲ ὑπὸ
φθόνου

præſens quidem in terra fuit, beneſa- Act.10.38.
ciens, & ſanans hominum mala; cete-
rùm indignam à Iudæis Deo rebellan-
tibus repenſationem accepit. Dominus
enim noſter IESVS *Chriſtus inſigni*
ſua bonitate [a]*leproſos mundauit,* [b]*cæcis* [a] Matt. 8.2. Marc. 1.
viſum largitus eſt, [c]*claudos curauit,* 40. [b] Matth. 9.
[d]*dæmones eiecit,* [e]*Lazarum quatridua-* 27. [c] Matth. 21
num è mortuis excitauit, [f]*ex quinque* 14. [d] Matth. 4.
panibus quinque millia hominum ſatu- 24. [e] Ioan. 11.
rauit, [g]*ſuper mare ambulauit,* [h]*aquam* 43. [f] Matth. 14
in vinum mutauit, [i]*mulierem ſangui-* 17. [g] Matth. 14
nis profluuio laborantem ſanauit, [k]*fi-* 24. [h] Ioan. 2. 9. [i] Matth. 9.
liam Archiſynagogi defunctam vitæ 20. [k] Marc. 5.
reſtituit, aliaque myſteria admira- 41.
tione digna perpetrauit. Iudæi autem

φθόνου καὶ βασκανίας κινηθέντες ποτὲ μὲν ἐλίθαζον τὸν κύριον, ποτὲ δὲ κατακρημνίζειν ἐπειρῶντο, τελευταῖον δὲ καὶ ἐπὶ σταυρὸν ἀνήγαγον. ἀλλ' ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐκ ἐμιμήσατο τὴν κακίαν τῶν βλασφήμων Ἰουδαίων, ἀλλὰ
» καὶ τὸ νῶτον αὐτοῦ ἐδίδου εἰς μάστι-
» γας, κατὰ τὸν προφήτην, καὶ τὰς
» σιαγόνας αὐτοῦ εἰς ῥαπίσματα, καὶ
» οὐκ ἀπέστρεφε τὸ πρόσωπον αὐτοῦ
» ἀπὸ αἰσχύνης ἐμπτυσμάτων, καὶ τὸ
» τελευταῖον ὡς πρόβατον ἐπὶ σφα-
» γὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ
» κείροντος αὐτὸν ἄφωνος, οὐκ ἀντι-
» τασσόμενος, οὐκ ἀντιλέγων. βλασ-
» φημούμενος οὐκ ἀντελοιδόρει,
» πάσχων οὐκ ἠπείλει, παρεδίδου δὲ

ἑαυτὸν

inuidiâ odioq́ue perciti, aliquando quidem Dominum [a]*lapidabant, nonnunquam* [b]*præcipitare nitebantur, tandem denique in* [c]*crucem egerunt. ſed Dominus noſter* IESVS *Chriſtus, non imitatus eſt improbitatem blaſphemorum Iudæorum: ſed &* tergum ſuum dedit in flagella, *iuxta Prophetam*, & maxillas ſuas in alapas: neque auertit faciem ſuam à confuſione ſputorum: *ac denique*, tamquam ouis ad occiſionem actus eſt, & tamquam agnus coram tondente mutus; *non ſeſe opponens, non obloquens: nec *blaſphemiis impetitus, contrà maledicens; patiens, non comminatus; tradidit verò ſeipſum

a *Ioan.* 10. 31.
b *Luc.* 4. 29.
c *Matth.* 27. 31. *Marc.* 15. 24. *Luc.* 23. 33. *Ioan.* 19. 18
Eſa. 50. 6. *iuxta* 70.
Iſai. 53. 7.
Eſa. 50. 5.
1. *Pet.* 2. 23.

* κρείττονι ἑαυτὸν τῷ *κρείτ]ονι δικαίως. Οὐ γὰρ ἦλθεν ἐπὶ τῇ πρώτῃ παρουσίᾳ κολάσαι καὶ τιμωρήσασθαι τοὺς ἀπίστους, ἀλλ' ἠθέλησε διὰ μακροθυμίας καὶ ὑπομονῆς ὁδηγῆσαι τοὺς πεπλανημένους ἐπὶ τὴν ἀλήθειαν. Καὶ μάθε τοῦ κυρίου τὴν ἀγαθότητα καὶ τὴν χρηστότητα τὴν μεγάλην. Ἐβλασφήμουν αὐτὸν οἱ Ἰουδαῖοι ,, καὶ ἔλεγον πρὸς αὐτὸν, Δαιμόνιον ,, ἔχεις, ὁ δὲ κύριος μακρόθυμος ὢν τοὺς δαίμονας ἐκ τῶν ἀνθρώπων ἤλαυνεν. Ἰουδαῖοι εἰς τὸ πρόσωπον ἐνέπτυον τοῦ σωτῆρος, αὐτὸς δὲ τοὺς τυφλοὺς αὐτῶν ἐθεράπευεν. Ἰουδαῖοι τὸν Χριστὸν ἐλίθαζον, ὁ δὲ Χριστὸς τοῖς χωλοῖς αὐτῶν τὸ τρέχειν ἐχαρίζετο, καὶ διόλου διετέλεσεν

ſeipſum iudicanti iuſtè. *Neque*
enim venit primo aduentu caſtiga-
re ac punire infideles: ſed voluit lon-
ganimitate ſuâ ac tolerantiâ errantes
rectâ viâ ad veritatem perducere.
Ac diſce Domini bonitatem benigni-
tatemque ſingularem. Blaſphemabant
ipſum Iudæi, dicentes, Dæmonium *Ioan. 7.20.*
habes; *ipſe autem Dominus, longa-*
nimis quippe, [a]dæmones ex hominibus [a] *Matth. 4. 24.*
expellebat. Iudæi in [b]faciem Serua- [b] *Matth. 27 30.*
toris conſpuebant; ipſe autem [c]cæcos [c] *Matth. 9. 27.*
eorum curabat. [d]Iudæi Chriſtum lapi- [d] *Ioan. 10. 31.*
dabant; ipſe autem [e]claudis eorum cur- [e] *Matt. 21. 14.*
ſum largiebatur; ac per omnia perſeue-

λεσεν εὐεργετῶν τοὺς ὑβρίζοντας, καὶ ἀντὶ κακῶν ἀγαθὰ δωρούμενος τοῖς ἀχαρίστοις ἐκείνοις καὶ μιαροῖς ἀνθρώποις. ἀνεξικάκως δὲ φέρων τὰς λοιδορείας ἴσως καὶ ἀσθενὴς ἐνομίζετο, ὁ ὑπ' ἀγγέλων δορυφορούμενος. Καὶ ἵνα μὴ πολλὰ λέγοντες δόξωμεν μηκύνειν τὸν λόγον, ἔλθωμεν *εἰς τὰ αὐτὰ κεφάλαια τῶν πραγμάτων. Τέλος γοῦν ἤγετο καὶ ἐπὶ τὸν σταυρὸν καὶ θάνατον ὁ τῆς δόξης βασιλεὺς, καὶ προσηλοῦτο τῷ ξύλῳ ὁ ὑπὸ τῶν Χερουβὶμ καὶ Σεραφὶμ δοξολογούμενος, καὶ ὑπὸ πασῶν δυνάμεών τε καὶ ἀγγέλων προσκυνούμενος. ταῦτα δὲ πρᾳέως ὑπέμενέ τε καὶ ἔπασχεν, ἡμῖν ὑπογραμμὸν παρέχων,

*ἴσως, εἰς αὐτὰ τὰ κεφάλαια

*rabat in bene de iis, qui ſe iniuriâ afficiebant, promerendo, & pro malis bona ingratis illis ac ſceleratis hominibus retribuendo. patienter autem ferens eorum conuicia, ſimiliter infirmus eſſe reputabatur is, qui Angelis ipſis ſtipatur. Et ne pluribus videamus ſermonem extendere, ad ipſa rerum capita veniamus. Tandem igitur in *crucem & mortem actus fuit Rex ille gloriæ, *clauisque ligno affixus, qui à Cherubim ac Seraphim glorificatur, & ab omnibus Poteſtatibus atque Angelis adoratur. illaque placidè tolerauit ac pertulit; nobis ſpecimen exhibens, ac ma-*

Matth. 27. 31.

Ioan. 20. 25

χων, καὶ διδάσκαλος ἐπιεικείας γενόμενος. Διὰ τοῦτο οὖν καὶ ἡμεῖς ὀφείλομεν γενναίως τὰς τῶν πονηρῶν ἀνθρώπων ἀπειλὰς φέρειν. Ἀλλὰ γὰρ καὶ ἐπὶ σταυροῦ κρεμασθεὶς μείζονα ἔργα καὶ πλείονα θαύματα ἐπεδείξατο, ἵνα κἂν οὕτω παύσῃ τὴν θεοστυγῆ τούτων μανίαν· ὥστε μὴ ἔχειν αὐτοὺς πρόφασιν τῆς ἀπιστίας, μήτε λέγειν, ὅτι ψιλὸν ἄνθρωπον ἐσταυρώσαμεν. Πρῶτον μὲν οὖν ἠνέσχετο ὁ Χριστὸς σταυρωθῆναι, καὶ εἰς τὸν ἀέρα κρεμασθῆναι, ἵνα τοὺς ἐν τῷ ἀέρι δαίμονας φυγαδεύσῃ. ἐκρεμάσθη ἐπὶ ξύλου, ἵνα τὴν πάλαι διὰ ξύλου προσαγομένην τοῖς ἀνθρώποις ἁμαρτίαν ἰάσηται. ἐνύγη δὲ καὶ

λόγχῃ

*ac magiſter lenitatis effectus. Ac propterea nos quoque generoſè hominum improborũ minas ferre debemus. Quin & in cruce ſuſpenſus maiora opera & plura miracula edidit: vt vel ſic Deo inuiſam eorum rabiem ſedaret; ne vllam haberent excuſationem vel prætextum incredulitatis; neque dicerent, nudum duntaxat ſe hominem cruci affixiſſe. Primùm igitur Christus cruci figi ſuſtinuit, & in aëre ſuſpendi; vt qui in aëre ſunt dæmones, in fugam ageret. ſuſpenſus in ligno eſt; vt peccatum olim in homines per *lignum in-* Geneſ.3.6.
*ductum ſanaret. *lancea latus eius per-* Ioan.19.34

λόγχῃ τὴν πλευρὰν διὰ τὴν ἐκ τῆς πλευρᾶς τοῦ Ἀδὰμ ληφθεῖσαν γυναῖκα. Ἐπειδὴ γὰρ ὁ ὄφις τὴν Εὔαν ἠπάτησεν, ἡ δὲ Εὔα τὸν Ἀδὰμ παραβῆναι παρεσκεύασεν (ἐξῆλθε δὲ ἀπόφασις κατ' αὐτῶν ἀμφοτέ-
,, ρων, καὶ ἐβασίλευσεν ὁ θάνατος ἀπὸ
,, Ἀδὰμ μέχρι Μωϋσέως καὶ ἐπὶ
,, τοὺς μὴ ἁμαρτήσαντας) διὰ τοῦτο τιτρώσκεται ἡ πλευρὰ, ἵνα μάθωμεν ὅτι οὐ μόνον ἀνδράσιν ἤνεγκε σωτηρίαν τὸ πάθος τοῦ Χριστοῦ, ἀλλὰ καὶ γυναιξίν. Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, εἶτα Εὔα· καὶ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἐξαπατηθεῖσα ἐν
,, παραβάσει γέγονε. σωθήσεται δὲ
,, διὰ τῆς τεκνογονίας. ποίας τεκνογονίας εἰμὴ διὰ τῆς τεκνογονίας Μαρίας;

cuſſum fuit, propter mulierem quæ ex
**latere Adam deſumpta fuerat. Quo-* Geneſ.2.22
*niam enim *ſerpens Euam circumuene-* Geneſ.3.1.
rat; Eua autem vt & Adam præua- Ibid.7.
ricaretur effecerat, (egreſſa eſt autem
ſententia contra vtrumque, & re- Rom.5.14.
gnauit mors ab Adam vſque ad
Moyſem, etiam in eos qui non
peccauerunt) *ob id latus eius vul-*
neratur: vt diſcamus Chriſti paſſio-
nem non ſolùm viris ſalutem, ſed etiam
mulieribus attuliſſe. Adam enim pri-
mus fictus fuit, deinde Eua: neque
Adam à ſerpente, ſed fœmina decepta,
eſt præuaricata. ſaluabitur autem 1.Timot.2.15.
per liberorum generationem. *per*
quam, quæſo, liberorũ generationem, niſi

 Mariæ?

Μαρίας; Αὕτη γὰρ τὸν Σωτῆρα Χριστὸν ἐτεκνώσατο οὐκ ἀνδρὶ συνελθοῦσα, ὡς Ἡσαΐας μαρτυρεῖ, ἀλλὰ πνεύματος ἁγίου ἐπισκιάσαντος αὐτῇ, καθὼς Γαβριὴλ ὁ ἀρχάγγελος εὐηγγελίσατο. διὰ ταύτην τὴν πρόφασιν. Καὶ ἡ πλευρὰ πλήσσεται τοῦ Χριστοῦ, ἵνα καὶ τὰ προειρημένα οἰκονομηθῇ, καὶ τὸ μυστήριον τοῦ βαπτίσματος κηρυχθῇ, ὅτε ἡ χάρις ἡ μέλλουσα λάμψῃ. πηγάζει γὰρ αἷμα καὶ ὕδωρ ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ, ἵνα καὶ τὸ καθ' ἡμῶν χειρόγραφον τῆς ἁμαρτίας ἀπαλείψῃ, καὶ τῷ αἵματι αὐτοῦ καθαρισθῶμεν, καὶ τὸν παράδεισον ἀπολάβωμεν. Ὢ μεγάλου μυστηρίου. Μετενόησεν ὁ λῃστής, χρεία ἦν

ὕδατος

*Mariæ? Ipſa enim Seruatorem Chriſtum peperit; non cum viro conueniens, vt [a]Eſaïas teſtificatur, ſed [b]Spiritu ſancto ipſam obumbrante, ſicut Gabriel Archangelus læto nuncio ei prædixerat. Latus etiam Chriſti percutitur; vt & prædicta debitum finem modumque ſortirentur, myſterium baptiſmatis prædicaretur, & futura gratia reſplenderet. *ſanguis enim & aqua ex Chriſti latere manat; vt & *chirographum peccati, quod contra nos erat, deleret; & ſanguine ipſius mundaremur, paradiſumque adipiſceremur. O magnum myſterium! Reſipuit latro; opus erat*

a Eſa. 7. 14
b Luc. 1. 35.
Ioan. 19.34
Coloſ. 2. 14.

ὕδατος ἵνα βαπτισθῇ. ἐπὶ σαυροῦ ἐκρέματο, οὐκ ἦν ἕτερος τρόπος βαπτίσματος, οὐ πηγὴ, οὐ λίμνη, οὐκ ὄμβρος, οὐχ ὁ τὴν μυσαγωγίαν ἐπιτελῶν. πάντες γὰρ διὰ τὸν φόβον τῶν Ἰουδαίων ἔφυγον οἱ μαθηταί. Ἀλλ᾽ οὐκ *ἠυπόρησεν ὁ Ἰησοῦς τῶν ναμάτων, ἀλλὰ καὶ ἐπὶ σαυροῦ κρεμάμενος δημιουργὸς ὑδάτων γέγονεν. Ἐπειδὴ γὰρ οὐχ οἷόν τε ἦν εἰσελθεῖν εἰς τὴν βασιλείαν τὸν λῃστὴν δίχα βαπτίσματος, ἔχρῃν δὲ τοῦτον μετανοήσαντα μὴ ἀμοιρῆσαι τοῦ βαπτίσματος ὕδωρ καὶ αἷμα προσήκατο τῆς νυγείσης αὐτοῦ πλευρᾶς ὁ Σωτὴρ, ἵνα καὶ τὸν λῃστὴν ἐλευθερώσῃ τῶν ἐπηρτημένων κακῶν, καὶ τὸ αἷμα αὐτοῦ λύτρον

Fortè ἠπόρησεν

aquâ quâ baptizaretur: in cruce ſuſpenſus erat; non erat alius modus baptiſmatis, non fons, non ſtagnum, non imber, non ſacri denique illius myſterij peragendi miniſter. omnes enim propter metum Iudæorum diſcipuli diffugerant. Verùm non deſtituebatur IESVS *aquâ; ſed etiam in cruce ſuſpenſus aquas fabricauit. Quoniam enim non fas erat, latronem in regnum ſine baptiſmo ingredi; oportebat autē ipſum, poſtquam iam reſipuiſſet, baptiſmatis non manere expertem: ob id aquam & ſanguinē Seruator ex latere ſuo percuſſo emiſit, vt & latronem ab impendentibus malis liberaret, & ſanguinem ſuum*

λύτρον ἀπόδειξη γενόμενον τῶν εἰς
» αὐτὸν ἐλπίδας ἐχόντων. Εἰ γὰρ τὸ
» αἷμα ταύρων καὶ τράγων, καὶ σπο-
» δὸς δαμάλεως ῥαντίζουσα τοὺς
» κεκοινωμένους ἁγιάζει πρὸς τὴν
» τῆς σαρκὸς κάθαρσιν, πόσῳ μᾶλλον
» τὸ αἷμα τοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν
καθάρσιον γέγονε πάντων ὁμοῦ
τῶν Χριστιανῶν; Ἐὰν οὖν εἴπῃ σοι τίς
τῶν ἀπίστων, διὰ τί ἐσταυρώθη ὁ
Χριστός; εἰπὲ αὐτῷ, ἵνα σταυρώσῃ
τὸν διάβολον. Ἐὰν εἴπῃ σοι, διὰ τί
ἐκρεμάσθη ἐπὶ ξύλου; εἰπὲ αὐτῷ, ἵνα
τὴν διὰ ξύλου γενομένην ἁμαρ-
τίαν ἐν τῷ παραδείσῳ ἀνακαλέ-
σηται. Ἐὰν εἴπῃ σοι, διὰ τί δὲ καὶ
ἀκάνθας ἐφόρεσεν; εἰπὲ αὐτῷ, ἵνα
τὰς ἀκάνθας καὶ τοὺς τριβόλους τοῦ

iis, qui in ipſum ſpem haberent, lauacrum eſſe factum declararet. Si enim Hebr.9.13.
ſanguis taurorum & hircorum, & cinis vitulæ aſperſus, inquinatos ſanctificat ad emundationem carnis: quanto magis ſanguis Chriſti *Seruatoris noſtri expiatorius factus eſt omnium ſimul Chriſtianorum! Si quis ergo tibi infidelium dixerit: Ad quid cruci fixus eſt Chriſtus? reſponde ei: Ut diabolum cruci figeret. Si dixerit: Quur ſuſpenſus fuit in ligno? reſponde: Ut *peccatum per* Geneſ.3.6.
*lignum in paradiſo commiſſum coërceret. Si dixerit: Quorſum & *ſpinas ge-* Ioan.19.2.
ſtauit? reſponde ei: Vt ſpinas & tribulos

Ἀδὰμ ἐκριζώσῃ. Ἐκεῖνος γὰρ στένειν καὶ τρέμειν κατεδικάσθη, καὶ ἀκάνθας καὶ τριβόλους γεωργεῖν. Ἰησοῦς οὖν φιλάνθρωπος ὤν, τοῦ ἰδίου ποιήματος θέλων προνοήσασθαι, πάντα δι' ἡμᾶς ὑπέστη, ἵνα ἡμεῖς τῆς καταδίκης ἐλευθερωθῶμεν. Ὥσπερ γὰρ ἐγεννήθη διὰ γυναικὸς, ἵνα τὴν ἐκ γυναικὸς προσγενομένην ἁμαρτίαν τοῖς ἀνθρώποις ἀπαλείψῃ, οὕτω καὶ ταῖς ἀκάνθαις στεφανοῦται, ἵνα τὴν κακῶς γεωργηθεῖσαν ὑπὸ τῆς παρακοῆς γῆν διὰ τῆς ἰδίας ὑπακοῆς ἡμερωτέραν ἐργάσηται. Ἐὰν εἴπῃ σοι, χολὴν καὶ ὄξος διὰ τί ἔπιεν; εἰπὲ αὐτῷ, ἵνα ἡμεῖς τὸν θανατηφόρον ἰὸν ἐξεμέσωμεν τοῦ δράκοντος.

*Adami eradicaret. Jlle enim ad *ge- mitum atque angorem, ſpinarumque & tribulorum culturam condemnatus fuerat. Ob id ergo* IESVS, *quum eſſet benigniſſimus, facturæ ſuæ conſulere volens, omnia propter nos ſubiuit, vt nos condemnatione liberaremur. Sicut enim ex muliere genitus fuit, vt peccatum ex muliere hominibus agnatum deleret: ita & ſpinis coronatur, vt terram per inobedientiam malè ſubactam, obedientiâ ſuâ ad mitiorem culturam reuocaret. Si dixerit tibi: *Fel & acetum cur bibit? reſponde: Vt nos letale draconis venenum euomeremus.*

Geneſ. 3. 17

Matth. 27. 34.

fel

κοντος. ἡ γὰρ χολὴ ἐκείνη ἐμὸν
γέγονε γλύκασμα, καὶ τὸ ὄξος
ἐκεῖνο ἐμὸν γέγονεν ἴαμα. Ἐὰν
δέ σοι εἴπῃ πάλιν ὁ ἄπιστος, διὰ
τί καὶ κοκκίνην ἐνεδύσατο χλαμύ-
δα, καὶ διὰ τί ἐγονυπέτουν προσιόν-
τες αὐτῷ; εἰπὲ αὐτῷ, ἵνα καὶ μὴ
θέλοντες αὐτῷ προσκυνῶσιν οἱ Ἰου-
δαῖοι, καὶ τὴν βασιλείαν αὐτοῦ καὶ
ἄκοντες ἐπὶ γῆς ὁμολογήσωσι.
νῦν μὲν χλευάζοντες προσεκύ-
νουν, οὐκ εἰδότες ἅπερ ἔπραττον, ἐν
„ δὲ τῇ μελλούσῃ ἀναστάσει πᾶν γόνυ
„ κάμψει ἐπουρανίων καὶ ἐπιγείων
„ καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα
„ ἐξομολογήσεται ὅτι κύριος Ἰησοῦς
„ Χριστὸς εἰς δόξαν θεοῦ ἐστι πατρὸς
„ ἡμῶν. ἀμήν. Ἔχει δὲ καὶ ἡ χλαμὺς
ἐκείνη

*ſel enim iſtud mea dulcedo factum eſt; & acetum, mea medicina. Sin autem rurſus tibi infidelis dixerit: Quur & *coccineam chlamydem fuit indutus?* Matth. 27. 28. *&, Quur *genibus flexis Iudæi ipſum* Ibid. 29. *acceſſerunt? reſponde: Vt Iudæi etiam nolentes ipſum adorarent, & Regnum eius vel inuiti in terra confiterentur. & nunc quidem irridentes ante eum genua flectunt, ignari quid faciant: in futura autem reſurrectione* omne Philip. 2. 10 genu flectetur, cæleſtium, terreſtrium, & infernorum; & omnis lingua confitebitur, quoniam Dominus Iesvs Chriſtus in gloria eſt Dei Patris noſtri. Amen. *Quin & aliud ænigma chlamys illa.*

in ſe

ἐκείνη ἕτερον αἴνιγμα. οὐ μόνον γὰρ τὴν βασιλείαν ὑπετύπει, ἀλλὰ γὰρ καὶ τὸ *αἱμοφόρον καὶ φονῶδες τῶν Ἰουδαίων ἐπεδείκνυτο. ἔδωκαν δὲ τὸν κάλαμον ἐν τῇ χειρὶ αὐτοῦ. ἵνα γραφῶσιν αὐτῶν αἱ ἁμαρτίαι.

*Fortè αἱμό-βορον

Ταῦτα μὲν οὖν οἱ χριστομάχοι ἐποίουν, ἀγνοοῦντες τὸν σταυρούμενον, μᾶλλον δὲ ἑκουσίως ἀποτυφλωθέντες· ἡ δὲ κτίσις οὐκ ἠγνόησε τὸν ἑαυτῆς δεσπότην τε καὶ δημιουργόν. Ἐπὶ γὰρ τοῦ σταυροῦ κρεμάμενον θεωρήσας ὁ ἥλιος ὁ αἰσθητὸς τὸν ἥλιον τῆς δικαιοσύνης Χριστὸν, ὑπὸ τῶν ἀνόμων ὑβριζόμενον, μὴ φέρων τὸ τόλμημα, φεύγει σκοτίσας τὴν γῆν, καὶ ἄτοπον ἡγησάμενος συνεργεῖν, καὶ φωτίζειν ὀφθαλμοὺς τοὺς

τὴν

*in ſe continebat. non ſolùm enim regnum præfigurabat; ſed &, quâ æſtuabant Iudæi, ſanguinis ſitim, cædisque cupiditatem demonſtrabat. dederunt ipſi inſuper *calamum in manu; vt peccata eorum conſcriberentur. Atque illa quidem Chriſti hoſtes faciebant; ignorantes quis eſſet, qui cruci figebatur, aut potiùs ſponte ſuâ occæcati: creatura autem Dominum ſuum & conditorem non ignorauit. In cruce enim ſuſpenſum *ſol ſenſibilis ſolem illum iuſtitiæ Chriſtum videns, per iniquos iniuriis affectum, non ferens facinus tam audax, fugit, terræ tenebras offundens, & abſurdũ exiſtimans operam ſuam accommodare, oculosq; illorum illuminare, qui maxi-*

Matth. 27. 29.

Matth. 27. 45.

τὴν μεγίστην ἀσεβοῦντας ἀσέβειαν. Οὐ μόνον δὲ ὁ ἥλιος ἔφυγεν, ἀλλὰ καὶ γῆ ἐκινεῖτο, μὴ φέρουσα τὴν ἀνομίαν τῶν δρωμένων, ἐνδεικνυμένη δὲ καὶ διδάσκουσα ὅτι θεὸς ἦν ὁ σταυρούμενος. Διὸ καὶ οὐκ ἠνέχετο, ἀλλ᾽ ἐχαλέπαινε, μὴ θέλουσα φέρειν ἐφ᾽ ἑαυτῆς τοὺς θεοστυγεῖς Ἰουδαίους. Οὐχ οὕτω γὰρ ἀδελφοκτονήσας ἔχρανεν ὁ Κάϊν τὴν γῆν, οὐδ᾽ οὕτως αὐτὴν ἐβάρησεν ἡ γιγάντων πυργοποιΐα, οὐδ᾽ οὕτως αὐτὴν ἐμόλυναν ἀθεμιτουργήσαντες Σοδομῖται, οὐδ᾽ αὐτοὶ οἱ τὰ εἴδωλα πλάσαντες ἐξ αὐτῆς, οὐ τὸ αἷμα Ζαχαρίου καὶ Ἄβελ ἐκχυθὲν ἐβάρησεν αὐτὴν οὕτως, ὅσον Ἰουδαῖοι τὸ μέγα τοῦτο τολμήσαντες ἀσέβημα.

*maximam hanc omnium impietatem in ſe admitterent. Non ſolùm autem ſol fugit, ſed & *terra concuſſa eſt, nec ipſa tolerans iniquitatem eorum, qui hæc faciebant; oſtendens autem docensq́; quòd Deus eſſet, qui cruci figebatur. Propterea non ſuſtinuit hæc fieri, ſed indoluit; nolens in ſe geſtare Iudæos illos Deo inuiſos. Neque enim *fratricidio commiſſo ita Caïn terrã contaminauerat; neque illam ita grauauerat *giganteæ turris ædificatio; neque adeò eam polluerant *nefaria perpetrantes Sodomitæ; neque illi qui idola ex ipſa confinxerant; neque [a] Zachariæ ſanguis atque [b] Abel effuſus, tanto eam pondere preſſerat, quanto Iudæi, ingens hoc ſcelus tentare*

Matth. 27. 51.
Geneſ. 4. 8.
Geneſ. 11. 4
Geneſ. 19. 5
a 2. Paralip. 24. 22.
b Geneſ. 4. 8.

βῆμα. Διὰ γὰρ τοῦτο καὶ αἱ σκληραὶ
πέτραι ἐσχίζοντο, ἵνα μάθωσιν ὅτι
» οὗτός ἐστιν ἡ πνευματικὴ πέτρα. Ἔπι-
» νον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης
» πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός.
Ὢ τῆς Ἰουδαίων ἀγνωμοσύνης. αἱ
πέτραι ἐσχίσθησαν, καὶ οὗτοι ἀναισθη-
τοῦσι· τὰ ἄψυχα κλονεῖται, καὶ οἱ
ἔμψυχοι ἀπιστοῦσι. Τὸ καταπέτα-
σμα τοῦ ναοῦ ῥήγνυται, ἵνα λοιπὸν ἡ
ἐρήμωσις αὐτῶν δειχθῇ. ἐσχίσθη γὰρ
τὸ τοῦ ναοῦ καταπέτασμα, ἐγυμνώθη
τὰ ἐν τῷ ναῷ διὰ τὸν εἰπόντα Χρι-
» στόν· Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν
» ἔρημος. Καὶ γὰρ ἠρήμωται μετὰ τὴν
χριστοκτονίαν πάντα τὰ τῶν Ἰου-
δαίων σεμνά· καὶ οἱ παραμένοντες
τῇ πόλει καὶ τῷ ἱερῷ ἄγγελοι μετέ-

βησαν

auſi. Ob id enim etiam duræ petræ findebantur, vt diſcerent hanc eſſe ſpiritalem petram. Bibebant enim de ſpiritali ſequente petra: petra autem erat Chriſtus. *O Iudæorum inſaniam! petræ finduntur, & illi non ſentiunt: inanimata quatiuntur, & animati non credunt. *Velum templi rumpitur, vt deinceps eorum ſolitudo oſtendatur. ſciſſum eſt enim templi velum; denudata ſunt quæ in templo erant, propter verba Chriſti:* Ecce relinquitur domus veſtra deſerta. *Deſerta enim reddita fuerunt, quæcunque apud Iudæos ſplendida fuerant, poſtquam Chriſtum occidiſſent: & qui in ciuitate & templo Angeli habita-*

1.Corinth. 10.4.

Matth.27. 51.

Matth. 23. 38. Luc.13.35.

βησαν ἐκεῖθεν, καὶ ἦλθον εἰς τὴν ἐκκλησίαν. πολλὰ δὲ σώματα τῶν κεκοιμημένων ἁγίων συνανέστη Χριστῷ, ἵνα μάθωμεν ἡμεῖς ὅτι Χριστὸς ἀποθανὼν μόνος οὐκ ἀνίσταται, ἀλλὰ πάντας σὺν εἰς αὐτὸν πιστεύσοντας ἐκ νεκρῶν *ἀνασήσει. Αὕτη ὡς ἐν κεφαλαίῳ ἐστὶν ἡ σεμνὴ τοῦ πάσχα ἑορτὴ, καὶ ταῦτα Χριστιανῶν μυστήρια περὶ ἀναστάσεως νεκρῶν καὶ ζωῆς αἰωνίου πανηγυρίζομεν, μὴ ἐν ζύμῃ κακίας καὶ πονηρίας, πιστεύοντες εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, εἰς τριάδα ὁμοούσιον, ἄκτιστον, πιστεύοντες τῇ ἀναστάσει, προσδοκοῦντες τὸν κύριον πάλιν ἐρχόμενον, οὐκέτι μετὰ τοι ταπεινῶς, ἀλλ' ἐνδόξως μετὰ λαμπρότητος

Fortè ἀνίστησιν

*uerant, illinc recedentes in Eccleſiam venerunt. *multa autem corpora dormientium Sanctorum conſurrexerunt cum Chriſto; vt diſcamus nos, quòd Chriſtus mortuus, non ſolus reſurgat, ſed omnes in ſe credentes ex mortuis reſuſcitet. Atque hoc quidem in ſumma præclarum Paſchatis eſt feſtum: hæcq; Chriſtianorum myſteria, de reſurrectione mortuorum & vita æterna, numeroſo hoc conuentu celebramus;* non in fermento malitiæ & nequitiæ: *credentes in Patrem, & Filium, & S. Spiritum, in Trinitatem inquam conſubſtantialem, increatamque; denique reſurrectioni fidem habentes, expectanteſque Dominum iterum venientem, non ampliùs humiliter, ſed glorioſè, cum*

Matth. 27. 52.

1. Corinth. 5. 8.

πρότητος οὐρανίου, μετὰ φωτεινῶν ἀγγέλων, μετὰ σάλπιγγος καὶ χαρᾶς, χαρᾶς μὲν τῶν ἁγίων καὶ δικαίων, φόβου δὲ τῶν ἀδίκων καὶ ἁμαρτωλῶν. Ὁ δὲ θεὸς τῆς εἰρήνης πάντας ἡμᾶς *καταξιώσει τῆς μετὰ τῶν ἁγίων ἀναστάσεως, ἐν ἔργοις καλοῖς εὑρεθέντας, καὶ πίστει ὀρθοδόξῳ· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*For. καταξιώσαι

ΤΕΛΟΣ.

ERRATA.

Pagina 24.	linea 5.	ἀνοδύνως lege ἀνωδύνως
pag. 29.	in marg.	διατυμόσιν leg. δαιτυμόσιν
pag. 48.	lin. 7.	ἐκ-σαθμῶν leg. ἐκ σαθμῶν
pag. 52.	lin. 13.	ὁβλέπων leg. ὁ βλέπων
pag. 74.	lin. 13.	παραγάγοντι leg. παραγαγόντι
pag. 116.	lin. 15.	γὴν leg. γῆν
pag. 166.	lin. 10.	ἤλοι leg. ἦλοι
pag. 196.	lin. 6.	νικᾶ leg. νικᾷ
pag. 210.	lin. 14.	τελευτᾶ leg. τελευτᾷ
pag. 228.	lin. 7.	.Καὶ leg. ,καὶ

maieſtate cæleſti, cum lucidis Angelis, cum tubâ & lætitiâ; lætitiâ inquam Sanctorum atque iuſtorum, timore autem iniuſtorum & peccatorum. Deus autem pacis omnes nos dignos efficiat, qui cum iuſtis reſurgamus, in bonis operibus reperti, & fide recta: quoniam ipſi gloria & potentia in ſecula ſeculorum. Amen.

FINIS.

A

Approbatio.

Hanc Viri eruditi D. Petri Pantini, Bruxellis Collegiatæ Eccleſiæ Decani, è Gręco Verſionem Homiliarum Methodii, Athanasii, Amphilochii, & Chrysostomi Epiſcoporũ, Catholicam iudico; dignámque quæ iam tandem, ob egregiam pietatem & elegantiam, vnà cum Græco non hactenus edito, typis excudatur. Datum Antuerpiæ, xvi. Calendas Maij, Anno m. d. xcviii.

Silvester Pardo, *S. Theolog. Licentiatus, Cathed. Eccleſiæ Antuerp. Canonicus, librorumq́ Cenſor.*

1.006.540